οὕτως, 'πιστεύω εἰς θεόν', μηδὲν ἄλλο προσθείς, ὅλην ἐδήλωσα τὴν θεότητα· ὅταν δὲ εἴπω, 'ὁ θεὸς ἐγένετο ἄνθρωπος', οὐ τὴν θεότητα ἐσήμανα, ἀλλὰ μόνον τὸ τοῦ υἱοῦ ὄνομα. καὶ πάλιν, εἰ μὲν εἴπω, 'ὁ θεὸς διὰ τὸν ἄνθρωπον ἐσαρκώθη', ὅλην ἐδήλωσα τὴν ἀνθρωπότητα· ἐὰν δὲ εἴπω, 'ἄνθρωπος ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι', μόνον τὸν Ἰὼβ ἐδήλωσα. πρόσεχε τῷ δόγματι ἀκριβῶς. ἐπεὶ οὖν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο μὲν τὰς φύσεις ὁμολογοῦμεν, θεότητα καὶ ἀνθρωπότητα, μίαν δὲ ὑπόστασιν σύνθετον ἐξ ἀμφοτέρων, ὅταν μὲν αὐτὰς τὰς φύσεις ἀναθεωρῶμεν, θεότητα καὶ ἀνθρωπότητα λέγομεν· ὅταν δὲ τὴν ἐκ τῶν φύσεων συντεθεῖσαν ὑπόστασιν, ποτὲ μὲν αὐτὴν τὴν συντεθεῖσαν ὑπόστασιν ἐκ τοῦ συναμφοτέρου Χριστὸν ὀνομάζομεν καὶ θεὸν καὶ ἄνθρωπον καὶ θεὸν σεσαρκωμένον, ποτὲ δὲ θεὸν μόνον καὶ υἱὸν ἀνθρώπου καὶ αὖθις ἄνθρωπον μόνον καὶ υἱὸν ἀνθρώπου. καὶ οὔτε θεὸν μόνον λέγοντες χωρίζομεν αὐτὸν τοῦ ἀνθρώπου οὔτε ἄνθρωπον μόνον ὀνομάζοντες χωρίζομεν αὐτὸν τοῦ θεοῦ· εἷς γὰρ ὁ αὐτός ἐστι καθ' ὑπόστασιν, ὅλος θεὸς καὶ ὅλος ἄνθρωπος, καὶ ἀμφότερα παρὰ μέρος ὁ αὐτὸς ὀνομάζεται. οὐ μέντοι οὕτως καὶ ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος· θεότητα μὲν γὰρ λέγοντες οὐ συνεμφαίνομεν αὐτῇ καὶ τὰ τῆς ἀνθρωπότητος ἰδιώματα, οὐ γὰρ φαμὲν θεότητα παθητὴν ἢ κτιστήν· οὐδὲ πάλιν λέγοντες ἀνθρωπότητα καὶ τὰ τῆς θεότητος ἰδιώματα μετ' αὐτῆς συνεκλαμβανόμεθα, οὐ γὰρ φαμὲν ἀνθρωπότητα ἄκτιστον ἢ ἀπαθῆ. ἐπὶ δὲ τῆς μιᾶς ὑποστάσεως οὐχ' οὕτως, ἀλλὰ θαρροῦντες ὁμολογοῦμεν καὶ μόνως θεὸν καὶ μόνως ἄνθρωπον καὶ τὸ συναμφότερον Χριστόν· ἀλλὰ καὶ θεὸν λέγοντες καὶ ἄνθρωπον νοοῦμεν, καὶ ἄνθρωπον λέγοντες καὶ θεὸν ὁμολογοῦμεν, καὶ τὸν αὐτὸν λέγομεν καὶ θεὸν παθητόν, καθὸ ἄνθρωπος, καὶ παιδίον πάλιν προαιώνιον καὶ ἄναρχον, καθὸ θεός. καὶ οὗτος ἐστὶν ὁ τρόπος τῆς ἀντιδόσεως, ἀντιδιδούσης ἑκατέρας φύσεως τῇ ἑτέρᾳ τὰ ἴδια διὰ τὴν τῆς ὑποστάσεως ταυτότητα καὶ τὴν εἰς ἄλληλα αὐτῶν συμπεριχώρησιν. τοῦτο, δέσποτά μου, πλάνην ἐμποιεῖ πολλὴν τοῖς αἱρετικοῖς, μὴ δυναμένοις διαγνῶναι τὸ βάθος τῆς οἰκονομίας καὶ τὴν τῶν λεγομένων συνιέναι διάνοιαν.

---

12. 13 ἐν: ἐν τῇ VR — 17 ἐκ-18 συντεθεῖσαν[1] : ἐν ἀμφοτέραις ταῖς φύσεσι μίαν ὑποκειμένην SH — 18 ποτὲ-ὑπόστασιν PB : ποτὲ μὲν ἀπὸ τοῦ κρείττονος αὐτὸν ὀνομάζομεν· θεὸν μόνον λέγοντες καὶ υἱὸν θεοῦ· ποτὲ δὲ ἀπὸ τοῦ προσλήμματος· ἄνθρωπον μόνον καὶ υἱὸν ἀνθρώπου· ποτὲ δὲ καὶ SH om VR (ποτὲ μὲν, nec plura, Damasc) — 19 ἐκ: ἀπὸ S / ὀνομάζομεν: αὐτὸν καλοῦντες S / καὶ[2] : ἢ P ἤγουν B — 19-20 θεὸν καὶ ἄνθρωπον: θεάνθρωπον S — 20 ποτὲ-21 ἀνθρώπου[2] habent etiam SH, ubi delenda erant (vide ad l 18) — 21 ἀνθρώπου[1]: τοῦ θεοῦ Damasc — 22 ἀνθρώπου-23 τοῦ om VR — 23 εἷς-24 ὑπόστασιν: ὁ αὐτὸς γάρ ἐστιν VR — 24 καὶ[2]-26 ἀνθρωπότητος om VR — 26 συνεμφαίνομεν. κατονομάζομεν VR, Damasc — 27 καὶ om VR, Damasc — 28 καὶ: νοοῦμεν ἐπ' αὐτῆς VR — 29 μετ' αὐτῆς συνεκλαμβανόμεθα om VR — 30 ἢ ἀπαθῆ om VR, Damasc — 31 θαρρούντως VR — 34 θεὸν καὶ S / ἄνθρωπον SR / πάλιν om VR — 35 θεόν SR / οὕτως SH — 35-36 ἑκατέρας φύσεως ἀντιδιδούσης VR, Damasc — 37 συμπαραχώρησιν S — 39 τῆς: τῆς θείας PB / καὶ-διάνοιαν om VR

13. Περὶ θείας ἑνώσεως. [13]

Ὀφείλεις εἰδέναι, δέσποτά μου καὶ βασιλεῦ, ὡς ἡ τῆς θεότητος φύσις πᾶσα τελείως ἐστὶν ἐν ἑκάστῃ τῶν αὐτῆς ὑποστάσεων, πᾶσα ἐν πατρί, πᾶσα ἐν υἱῷ, πᾶσα ἐν ἁγίῳ πνεύματι. καὶ ἐν τῇ ἐνανθρωπήσει οὖν τοῦ ἑνὸς τῆς ἁγίας τριάδος υἱοῦ τοῦ θεοῦ πᾶσαν καὶ τελείαν δογματίζομεν τὴν φύσιν τῆς θεότητος ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων ἑνωθῆναι πάσῃ τῇ ἀνθρωπίνῃ φύσει. οὐ μὴν λέγομεν, ὅτι αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας θεότητος πάσαις ταῖς τῆς ἀνθρωπότητος ὑποστάσεσι καθ' ὑπόστασιν ἡνώθησαν, πάσῃ δὲ τῇ ἀνθρωπίνῃ φύσει φαμὲν ἑνωθῆναι πᾶσαν τὴν τῆς θεότητος οὐσίαν. κατ' οὐδένα γὰρ λόγον κεκοινώνηκεν ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον τῇ σαρκώσει τοῦ θεοῦ λόγου, εἰ μὴ κατ' εὐδοκίαν καὶ βούλησιν. πᾶσα οὖν ἡ φύσις ἡμῶν ἐν τῇ τοῦ Χριστοῦ ὑποστάσει συνεγήγερται τῷ θεῷ.

14. Περὶ φύσεως ἀπαθοῦς καὶ πάθους τοῦ Χριστοῦ. [14]

Ὀφείλεις ὁμολογεῖν, ὅτι ἡ φύσις τοῦ λόγου ἐσαρκώθη ἤτοι ἡνώθη σαρκί· οὐ μήν, ὅτι ἡ φύσις τοῦ λόγου ἔπαθε σαρκί, ἀλλ' ὅτι ὁ Χριστὸς ἔπαθε σαρκί. ὅτι μὲν γὰρ ὁ θεὸς ἄνθρωπος γέγονε καὶ αὖθις ὁ ἄνθρωπος θεὸς ὁμολογοῦμεν, καὶ ὅτι ἡ θεότης ἡνώθη τῇ ἀνθρωπότητι ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων μεμαθήκαμεν· ὅτι δὲ ἡ θεότης ἄνθρωπος γέγονεν ἢ ἐσαρκώθη ἢ ἐνηνθρώπησεν οὐδαμῶς ἀκηκόαμεν. ἐπειδὴ οὖν δύο φύσεις τοῦ Χριστοῦ, δύο αὐτοῦ καὶ τὰ θελήματα πάντως τὰ φυσικά, καὶ θελητικὸς ἄμφω ἐστὶν ὁ αὐτὸς κατ' ἄμφω τὰς αὐτοῦ φύσεις· τὴν γὰρ φυσικῶς ἐνυπάρχουσαν ἡμῖν θελητικὴν δύναμιν ἀνέλαβε. δύο οὖν καὶ τὰς ἐνεργείας αὐτοῦ φαμέν· εἶχε γὰρ ὡς μὲν θεὸς καὶ τῷ πατρὶ ὁμοούσιος τὴν θείαν ἐνέργειαν, ὡς δὲ ἄνθρωπος γενόμενος καὶ ἡμῖν ὁμοούσιος τῆς ἀνθρωπίνης φύσεως τὴν ἐνέργειαν.

15. Τίς ὁ θεός. [15]

Οὔτε ὁ οὐρανὸς θεός, οὔτε ὁ ἥλιος, οὔτε ἄλλό τι τῶν ὁρωμένων· ἀλλ' οὐδὲ ὁ πολυτίμητος καὶ πολυθρύλλητος νοῦς, οὐδὲ ἰδέα τὶς κατὰ Πλάτωνα χωριστὴ σώματος· ἀλλ' οὐδὲ φύσις ὅλως ἐγκόσμιος ἢ ὑπερκόσμιος· ἀλλ' οὐδὲ ζωή, οὐδὲ φῶς, οὐκ ἀσωματότης, οὐκ ἀϋλία· οὔτε αἰσθήσει θεατὸς οὔτε νῷ ληπτός· ἀλλά τις ἑτέρα φύσις ἀνεξερεύνητος

---

13. 2-7 : Damasc. 50, 1004 A 8-B 4. — 7-12 : 1005 A 4-7; 10-11; 7-9.

14. 2-4 : ib. 55, 1025 B 9-12. — 4-7: 1025 C 4-5 ; 8-10 ; 6-8. — 7-8 : ib. 58, 1033 B 8-10. — 9-10 : 1036 C 11-13. — 10-13 : ib. 59, 1045 C 4-1048 A 4.

15. 1: Plut., plac. I 7. — 3-4 : ib., p. 304, 5-6 Diels. — 12-13 : Greg. Naz., Or. 39^{11}, PGr. 36, 345 D 2.

---

13. SH, PB, VR 1 Περί: περὶ τῆς VR — 3 ἐν[1] om SH

14. SH, PB, VR 1 καὶ-Χριστοῦ om VR — 3 ἀλλ'-4 σαρκί om SH — 4 αὖθις καὶ PB / αὖθις ὁ om VR, Damasc — 9 θελητικῶς ἀμφοτέρων S / ἄμφω[1] om Damasc / τῶν αὐτοῦ φύσεων VR — 10 ἐν ἡμῖν PB — 11 εἶχε: μὲν add VR — 12 ὡς δέ: καὶ ὡς VR, Damasc

15. AZ, SWH, PB, VR 3 οὐδὲ[2]: οὔτε PB — 4 σωμάτων VR — 4-5 ἢ ὑπερκόσμιος om PBVR — 6 θεατὴ SW / ληπτὴ SW καταληπτός PB

καὶ ἀνεξιχνίαστος πᾶσαν ὑπερεκπίπτουσα ἔννοιαν καὶ χρόνου καὶ φύσεως, νῷ μόνῳ σκιαγραφουμένη· οὐκ ἀπὸ τῆς οὐσίας — τίς γὰρ ἔγνω οὐσίαν θεοῦ; — ἀλλ' ἐξ ἀϊδιότητος καὶ ἀγαθότητος, ἐκ τῆς παντοδυνάμου ἀπειρίας, ἀπὸ δικαιωμάτων, ἀπὸ οἰκονομιῶν, ἀπὸ κρίσεων. οὗτος πατήρ ἐστι καὶ υἱὸς καὶ πνεῦμα ἅγιον, οὐσία μία ἐν τρισὶν ὑποστάσεσι καὶ τοῖς χαρακτηριστικοῖς ἰδιώμασιν· ἓν ἐν τρισί, καὶ τὰ τρία ἕν, κατὰ τὸν θεολόγον Γρηγόριον.

16. Εἰ ἄπειρον τὸ θεῖον καὶ πῶς ἄπειρον. [1]

Πᾶν τὸ ὄντως ὂν οὔτε κατὰ τὸ πλῆθος ἐστὶν ἄπειρον οὔτε κατὰ τὸ μέγεθος, ἀλλὰ κατὰ μόνην τὴν δύναμιν. ὁ γὰρ θεὸς οὔτε πλῆθος ἐστίν, ἀλλὰ κυρίως ἕν· οὔτε μέγεθος ἔχει, ἀσώματον γάρ· ἄπειρον οὖν ἐστὶ κατὰ μόνην τὴν δύναμιν. οὐ γὰρ πέρατι περιλαμβάνεται ἡ τούτου ἐνέργεια, ἀλλ' ἥ τε γεννητικὴ αὐτοῦ δύναμις ἥ τε φρουρητικὴ ἥ τε ζωογόνος ἥ τε ἀναγωγικὴ καὶ ἁπλῶς πᾶσαι αἱ δυνάμεις αὐτοῦ ἄπειροι εἰσὶ καὶ ἀνέκλειπτοι. καὶ αὐτὸς ἄπειρος καὶ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος· καὶ τὸ μὲν ἄνω αὐτοῦ ἄναρχον ὀνομάζεται, τὸ δὲ κάτω ἀτελεύτητον, τὸ δὲ ξύμπαν αἰώνιον. ἄπειρος οὖν τὴν δύναμιν ὁ θεός, ἄναρχός τε καὶ ἀτελεύτητος καὶ αἰώνιος. τοῦτο δὲ καὶ ὁ θεολόγος Γρηγόριος τῷ ὄντι θεολογικῶς διορίζεται.

17. Πῶς οἶδε θεὸς τὰ μεταβαλλόμενα πράγματα. [16]

Οὐχ' ὡς ἔχει τὰ πράγματα γινώσκει ὁ θεὸς ταῦτα, ἀλλ' ὡς ἔστιν αὐτὸς κατ' οὐσίαν. οἷον εἰσὶ πράγματα μεριστά, ὁ δὲ θεὸς ἀμέριστος· ἀμερίστως οὖν οἶδε τὰ μεριστά. καὶ πάλιν πράγματα ἀλλοίωτα καὶ μεταβλητά, ὁ δὲ θεὸς ἀναλλοίωτος καὶ ἀμετάβλητος· ἀναλλοιώτως οὖν οἶδε τὰ ἀλλοιωτὰ καὶ ἀμεταβλήτως τὰ μεταβλητά. οὕτως καὶ τὰ ὑπὸ χρόνον αἰωνίως οἶδε, καὶ τὰ ἐνδεχόμενα ἀναγκαίως, καὶ τὰ σωματικὰ ἀσωμάτως. ἀλλ' οὐκ ἐπειδὴ γινώσκει ὁ θεὸς ἀσωμάτως τὸ σῶμα, ἠλλοιώθη ἐκεῖνο καὶ ἀσώματον γέγονεν· ἀλλ' ἡ μὲν τοῦ θεοῦ γνῶσις κατὰ τὴν ἰδίαν ὕπαρξιν γινώσκει τὰ πράγματα, ἐκείνων δὲ ἕκαστον μένει ὅπερ ἐστί. πρὸς γοῦν τοὺς ἀποροῦντας καὶ λέγοντας· εἰ ᾔδει ὁ θεὸς τὸν Ἀδὰμ τὰ ἐντεταλμένα παραβῆναι, πῶς εἰκὸς ἦν

---

16. 2-5: Procl., instit. theol. 86. — 5-8: cf. Procl. 152, 154, 155, 158. — 8-12: Greg. Naz., Or. 45[4], PGr. 36, 628 B 3-10 (= Or. 38[8], PGr. 36, 320 A 3-10).

17. 2-3: Procl., de decem dubit. 2, p. 85, 3-7 Cousin (1864). — 3-7: p. 86, 7-8; 85, 30-31; cf. inst. theol. 124, p. 110, 10-12 Dodds. — 9-11: de decem dubit. p. 85, 27-28; cf. inst. theol. p. 110, 14-17. — 23-24: de decem dubit. p. 85, 39-86, 1; cf. inst. theol. p. 110, 21.

---

15. 7 χρόνου: νόμου SH — 8 σκιαγραφούμενος VR — 9 καὶ AZPB: ἐξ Ω — 10-11 κρίσεως SWH — 11 μία: μὲν PB — 13 θεολόγον: καὶ μέγαν add (V)R

16. AFD, SWH, PB, VR 1 Εἰ: διατί AFD — 4 ἀσώματος SWPBVR / ἄπειρος SWPB — 5 καταλαμβάνεται SW λαμβάνεται PBVR — 8 ἀνέκλειπτοι S: ἀνέκληπτοι Ω

17. AFD, SWH, PB, VR 1 ὁ θεὸς SW — 2 ὁ om SW — 3 εἰσὶ τὰ VR — 4 πάλιν τὰ VR — 5 ἀμετάβλητος καὶ ἀναλλοίωτος F(P)B — 6 τὰ μεταβλητὰ ἀμεταβλήτως VR — 13 γενέσθαι ἐκεῖνον PB — 14 οὖν τοὺς SWPB γοῦν

ἐκεῖνον γενέσθαι ἀναμάρτητον; ὃ γὰρ ἐγίνωσκεν ὁ θεός, πῶς ὁ πρωτόπλαστος ὑπερβῆναι ἠδύνατο; — πρὸς τοὺς οὖν οὕτω διαποροῦντας ἀποκρίνου εὐθύς, ὅτι ὁ θεὸς κατὰ τὴν οἰκείαν ἰδιότητα οἶδε καὶ τὰ γενόμενα καὶ τὰ γενησόμενα, καὶ πάλιν οὐκ ἀλλοιοῦται τὰ πράγματα, ἐὰν ἐκεῖνος κρειττόνως αὐτὰ ἐπίσταται. οὐκ ἐπειδὴ τοίνυν ἠπίστατο ὅτι πεσεῖται ὑπὸ τὴν ἁμαρτίαν ὁ Ἀδάμ, ἡ γνῶσις αὐτοῦ αἰτία τῷ ἀνθρώπῳ τῆς ἁμαρτίας ἐγένετο· οὐ γὰρ ἀφείλετο αὐτοῦ τὴν ἰσορροπίαν τῆς γνώμης καὶ τὴν τοῦ καλοῦ αἵρεσιν, εἴπερ ἐβούλετο· ἀλλ' ὁ μὲν θεὸς ἠπίστατο τὸ ἐσόμενον, τῷ δὲ Ἀδὰμ οὐκ ἀφῃρέθη ἡ ἐπὶ τὸ καλὸν ὁρμή. καὶ ὁ μὲν Ἀδὰμ ἀόριστον εἶχε τὴν ἐπὶ τὰ ἐναντία ῥοπήν, ὁ δὲ θεὸς ὡρισμένως ἐγίνωσκε τὸ ἀόριστον. ὡς γὰρ τὸ σῶμα ἀσωμάτως καὶ τὸ διαστατὸν ἀδιαστάτως οἶδεν, οὕτω καὶ τὸ ἀόριστον ὡρισμένως.

18. Ἀπὸ ποίου πρώτου στοιχείου ἤρξατο τὸν κόσμον ποιεῖν ὁ θεός. [17]

Μωϋσῆς μὲν ὁ θεόπτης οὐρανῷ ἅμα καὶ γῇ τὰ πρεσβεῖα δίδωσι τῆς τοῦ κόσμου γενέσεως. τῶν δὲ παρ' Ἕλλησι σοφῶν ἄλλοι ἄλλως ᾠήθησαν. οἱ μὲν γὰρ τὴν γῆν πρῶτον παράγουσιν ὡς κέντρον τοῦ οὐρανίου κύκλου, ἐπεὶ καὶ τοῦ ἐπιπέδου κύκλου τὸ κέντρον πρεσβύτερον. ἕτεροι δὲ εἰς τὰ τέσσαρα στοιχεῖα καὶ τὸ πέμπτον σῶμα τὸ αἰθέριον τὸν σύμπαντα διαιροῦντες κόσμον καὶ τὸ τετράστοιχον ὑπὸ τοῦ αἰθέρος διοικεῖσθαι νομίζοντες, τὸ κάλλιστον δὲ τοῦ αἰθέρος ὁ οὐρανός, πρῶτον τοῦτον γεγενῆσθαι φασίν. ὅσοι δὲ ἀγέννητον τὸν κόσμον σαφῶς ἀπεφήναντο ὁμοῦ τὸ πᾶν εἶναι ἀκολούθως ἑαυτοῖς λέγουσι. δεῖ δὲ μᾶλλον οἴεσθαι τὸν οὐρανὸν πρῶτον γεγενῆσθαι, ὡς καὶ κρεῖττον σῶμα καὶ τῶν ἄλλων περιληπτικόν.

19. Πόθεν ἔννοιαν ἔσχον θεοῦ ἄνθρωποι. [18]

Ἔννοιαν ἔσχε θεοῦ ἄνθρωπος ἀπὸ τῆς τῶν ὄντων τάξεως, ἀπὸ τῆς ἰσονομίας τῶν φύσεων, ἀπὸ τῆς εἰς πάντα διηκούσης προνοίας. ἥ τε γὰρ τῶν μεγάλων φωστήρων ἀνατολὴ καὶ δύσις ἐν τοῖς αὐτοῖς καιροῖς ὁμοίως ἔχουσα καὶ οἱ τῶν ἀστέρων δρόμοι τὴν ταυτότητα σώζοντες καὶ ἡ τοῦ οὐρανοῦ περιφορὰ καὶ περίοδος κυκλοτερῶς πάντα σφίγγουσα καὶ συνδέουσα καὶ τἆλλα ὡσαύτως ἔχοντα ἀλαλήτοις στόμασι προνοητήν τινα τοῦ παντὸς εἶναι ἀνακηρύττουσιν. εἰ γὰρ τυχαία καὶ αὐτόματος ἦν ἡ τοῦ κόσμου σύμπηξις, ἦν ἂν καὶ τὰ μέρη τοῦ κόσμου ἀτάκτως καὶ ἀλόγως φερόμενα. νῦν δὲ ἡ εὔρυθμος τοῦ παντὸς κίνησις καὶ τὸ μηδὲν ἀλόγως ἢ τὴν κίνησιν ἔχειν ἢ τὴν ἡσυχίαν, ἀλλὰ πάντα εὐαγώγως ἡνιοχεῖσθαι, τὸν θεὸν ἡμῖν ἀναδείκνυσι ποιητὴν καὶ προνοητὴν τοῦ παντός.

---

18. 1: Plut., plac. II 6. — 2-3: Gen. 1[1]. — 4-5: Plut. p. 333, 16-19 Diels.
19. 1: Plut., plac. I 6. — 3-8: cf. ib. p. 295, 1-6; Ar., frg. 11 R.

τοὺς VR / οὕτω: τοῦτο PBVR — 15 οἰκείαν: ἰδίαν VR — 17 ἐάν: εἰ VR / οὐκ om VR — 18 ἡ: οὐχ ἡ VR — 18-19 τῷ ἀνθρώπῳ om AF / τῆς ἁμαρτίας τῷ ἀνθρώπῳ PBVR — 20 ἠβούλετο PBVR — 23 καὶ-24 ἀδιαστάτως om PBVR

18. ALZ, SWH, PB, VR 1 στοιχείου πρῶτον SW — 2 μωσῆς ZSVR — 8 τὸ δὲ κάλλιστον SWH — 9 ἀγένητον ZSWBVR

19. AZ, SWH, PB, VR 1 οἱ ἄνθρωποι ASWR — 2 ὁ ἄνθρωπος ASWR — 3 τὰ πάντα VR / διοικούσης SPV — 4 καιροῖς: ἀεὶ add VR — 5 ἔχουσι ZVR — 8 παντὸς: παρόντος SW — 10 ἡ: καὶ ἡ SWH — 12 δείκνυσι PB

20. Πότερον πλείους οἱ ἄγγελοι ἢ οἱ ἄνθρωποι. [19]

Ἐλάττους τῶν ἀνθρώπων κατὰ τὸ πλῆθος οἱ ἄγγελοι· σκόπει γάρ. πάντες οἱ ἀριθμοὶ οἱ πλησιάζοντες τῇ μονάδι ἐλάττους εἰσὶ κατὰ τὸ ποσὸν τῶν πορρωτέρων ἀριθμῶν· οἷον ἡ δυὰς καὶ ἡ τριὰς καὶ ἡ τετρὰς ἐλαττότεραι εἰσὶ τῶν εἴκοσι καὶ τριάκοντα καὶ τεσσαράκοντα. ὥσπερ οὖν οἱ ἐγγύτεροι τῆς ἑνάδος ἀριθμοὶ ἐλάττους εἰσίν, οἱ δὲ πορρωτέρω πλείους, οὕτως οἱ ἐγγύτεροι τοῦ ἑνὸς καὶ μόνου θεοῦ ἔλαττον ἔχουσι τὸ ποσόν, οἱ δὲ πορρώτεροι πλέον. ἐγγυτέρω δὲ τοῦ θεοῦ ἀρχάγγελοι καὶ ἄγγελοι καὶ αἱ ὑπερκείμεναι δυνάμεις, πορρωτέρω δὲ οἱ ἄνθρωποι· ὥστε πλείους εἰσὶ τῶν ἀγγέλων οἱ ἄνθρωποι. ὅθεν καὶ οἱ μὲν ἄγγελοι ἤδη κατὰ τὸν ἀριθμὸν ἐπερατώθησαν, τοῖς δὲ ἀνθρώποις εἰς τὸ ἄπειρον προχεῖται ἡ γένεσις. σταθήσεται δὲ καὶ αὕτη κατὰ τὸν τῆς συντελείας καιρόν.

21. Περὶ νοῦ. [20]

Οὐ πᾶς νοῦς μετέχεται ὑπὸ πάσης ψυχῆς· ὁ δὲ πρῶτος νοῦς ὑπ' οὐδεμιᾶς ψυχῆς μεθεκτός ἐστιν. ὁ γὰρ ὑπὲρ πάντα τὰ ὄντα νοῦς καὶ πάντων δημιουργὸς πῶς ἂν ὑπὸ ψυχῆς μετασχεθείη τινός; πάσης γὰρ τῆς νοερᾶς πληθύος καὶ τοῦ πλήθους τῶν νόων ἡγεῖται τὶς νοῦς καὶ ἀμέθεκτος. καὶ πρῶτος μὲν οὗτος νοῦς καὶ ἔστι καὶ ὀνομάζεται. μετὰ δὲ τὸν ἀμέθεκτον νοῦν ὁ μεθεκτὸς μέν, οὐχ' ὁ ἐγκόσμιος δέ, ἀλλ' ὁ ὑπερκόσμιος καὶ χωριστὸς τοῦ κόσμου, εἶτα ὁ ἐγκόσμιος· ἐπεὶ κατὰ τοὺς τῶν Ἑλλήνων λόγους καὶ αὐτὸς ὁ κόσμος ἔμψυχος ἅμα καὶ ἔννους ἐστί. καὶ ἡ ἐγκόσμιος ψυχὴ οὐκ εὐθὺς μετέχει τοῦ ὑπερκοσμίου νοός, ἀλλὰ πρώτως τοῦ ἐγκοσμίου. ἔστιν οὖν ἡ τάξις καὶ ὁ ἀριθμὸς καὶ τὰ ὀνόματα οὕτως· ὁ ἀμέθεκτος νοῦς, ὁ ὑπερκόσμιος, καὶ ὁ ἐγκόσμιος; ἡ ὑπερκόσμιος ψυχὴ καὶ ἡ ἐγκόσμιος.

22. Περὶ νοῦ. [21]

Πᾶς νοῦς ἑαυτὸν νοεῖ. ἀλλ' ὁ μὲν πρῶτος νοῦς καὶ ἀμέθεκτος ἑαυτὸν μόνον· οὐδὲ γὰρ ἔχει τι πρὸ ἑαυτοῦ, ἵνα ἐκεῖνο νοήσῃ, τὰ δὲ μετ' αὐτὸν οὐκ ἂν νοήσειεν, ἀλλ' ἔχει τούτων τὴν νόησιν ἀνοησίᾳ κρείττονι νοήσεως. καὶ ἔστιν ὁ τοιοῦτος νοῦς νοῦς ἅμα καὶ νοητόν· νοῦς μὲν ὡς νοῶν ἑαυτόν, νοητὸν δὲ ὡς νοούμενον ὑφ' ἑαυτοῦ. ὁ δὲ μετὰ τὸν

---

20. 2-8 : cf. Procl., inst. theol. 62 ; 203 ; Olymp., in Phaed. p. 190, 19-20 Norvin.
21. 4-11: Procl., inst. theol. 166.
22. 2-3, 6-13 : ib. 167. — 4-5 : Porphyr., sent. 25, p. 11, 4 Mommert.

---

20. AFD, SWH, PBC, VR 1 πότεροι PC / οἱ (bis) om SWPBC — 2 γάρ: γὰρ ὅτι VR — 4 πορρωτέρω SWPB[C]R / καὶ[1] om WVR — 5 καὶ τεσσαράκοντα AFD: om Ω — 6 ἐγγύτερον PB / πορρώτεροι AF — 7 ἐγγυτέρω SW ἐγγύτερον PB — 8 πορρωτέρω SW[P]BCVR / ἐγγύτεροι DVR — 8-9 ἄγγελοι, ἀρχάγγελοι VR — 9 αἱ om BC — 11 τὸν om PB — 12 σταθμήσεται AF / καὶ om VR / αὐτὴ SW

21. SH, PBC, VR 5 τῆς om VR — 6 νοῦς οὗτος VR / καὶ[2] om VR — 7 ὁ[1]: καὶ ὁ PBC — 8 κατὰ: καὶ κατὰ P(B)C — 12 μεθεκτὸς SH — 13 ἡ[1]-ἐγκόσμιος om VR

22. SH, PB, VR 3 πρὸς SH / ἑαυτοῦ: αὐτοῦ S / ἐκεῖ SH — 13 νοητῷ: νῷ SHP

ἀμέθεκτον μεθεκτὸς νοῦς ἑαυτόν τε ἅμα νοεῖ καὶ τὸν πρὸ αὐτοῦ νοῦν. πᾶς γὰρ νοῦς ἢ ἑαυτὸν νοεῖ ἢ τὸ ὑπὲρ ἑαυτὸν ἢ τὸ μεθ' ἑαυτόν. ἀλλ' εἰ μὲν τὸ μεθ' ἑαυτὸν νοεῖ, κατὰ τὸ χεῖρον ἐπιστρέψει. εἰ δὲ τὸ ὑπὲρ ἑαυτὸν νοεῖ, εἰ μὲν διὰ τῆς ἑαυτοῦ γνώσεως, ἑαυτὸν ἅμα κἀκεῖνο γνώσεται· εἰ δὲ ἐκεῖνο μόνον, ἑαυτὸν ἀγνοήσει νοῦς ὤν. ἀλλὰ τὸ πρὸ ἑαυτοῦ γινώσκων γνώσεται καὶ ἑαυτόν. ἔστιν ἄρα καὶ ἐν τῷ νῷ νοητὸν καὶ ἐν τῷ νοητῷ νοῦς, καὶ ὁ μὲν ὁλικώτερος, ὁ δὲ μερικώτερος.

23. Περὶ νοῦ. [22]

Πᾶς νοῦς καὶ τὴν οὐσίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν αἰώνια ἔχει. ὅλη γὰρ ἅμα ἐστὶν ἡ οὐσία τοῦ νοῦ καὶ οὔτε αὔξεται οὔτε μεγεθύνεται, οὐδὲ ὃ σήμερον ἐστὶ χθὲς οὐκ ἦν. καὶ ἡ νόησις δὲ αὐτοῦ ὁμοία ἐστὶ τῇ οὐσίᾳ, πληρεστάτη γὰρ καὶ ὅλη· καὶ ὁμοῦ πάντα νοεῖ καὶ οὔτε τὸ παρεληλυθὸς ὁρᾷ οὔτε τὸ μέλλον ὡς ἐσόμενον οἶδεν, ἀλλ' ἐν τῷ ἐνεστῶτι πάντα οἶδεν, οὐ κινούμενος, οὐκ ἀλλοιούμενος, οὐ συλλογιζόμενος, οὐχ' ὥσπερ ἡ ψυχὴ προτάσεις τιθεὶς καὶ ἐπάγων συμπεράσματα, ἀλλ' ἐν τῷ ἑνὶ πάντα ἐπιστάμενος. ἀκίνητος γὰρ ὢν οὐκ ἂν ὑπὸ χρόνου μετροῖτο, οὔτε κατὰ τὴν οὐσίαν οὔτε κατὰ τὴν ἐνέργειαν. εἰ οὖν καὶ ἡ οὐσία τούτου αἰώνιος καὶ ἡ ἐνέργεια, καὶ ἡ μέση τούτων οὖσα δύναμις αἰωνίαν τὴν ὑπόστασιν ἐκληρώσατο.

24. Περὶ νοῦ. [23]

Πᾶς νοῦς οὐσία ἐστὶν ἀμέριστος. τὸ γὰρ μὴ ἔχον μέγεθος, τὸ μὴ ὂν σῶμα, τὸ μὴ κινούμενον πάντως καὶ ἀμέριστον· πᾶν γὰρ τὸ μεριζόμενον ἢ κατὰ τὸ μέγεθος μερίζεται ἢ κατὰ τὸ πλῆθος. εἰ δὲ ὁ νοῦς κατὰ πάντα αἰώνιος καὶ ἐπέκεινα σωμάτων, ἀμέριστος ἄρα ἐστί. πόθεν δέ, ὅτι ἀσώματος ὁ νοῦς; ὅτι ἑαυτὸν νοεῖ καὶ πρὸς ἑαυτὸν ἐπιστρέφει, σῶμα γὰρ ἑαυτὸ οὐδὲν νοεῖ. πόθεν δὲ δῆλον, ὅτι αἰώνιος; ὅτι οὐ μερίζεται ἡ νόησις αὐτοῦ, ἀλλ' ἐν ταυτότητι ἐστὶ διηνεκεῖ, ὥσπερ ἡ οὐσία. ἔστι δὲ πάντων ὑποστάτης οὐχὶ πᾶς νοῦς, ἀλλ' ὁ ἀμέθεκτος καὶ ὁ δημιουργικός. ὑφίστησι δὲ προσεχῶς μὲν τὰ ἴδια καὶ ἀμετάβλητα, εἶτα δὴ καὶ τὰ μεταβλητὰ καὶ ἔγχρονα· οὐχ' ὅτι τὰ μὲν πρῶτα ποιεῖ, τὰ δὲ ὕστερα, ἀλλ' ἐν μιᾷ ῥοπῇ σύμπαντα. ἐκεῖνα δὲ κατὰ τὴν ἑαυτῶν τάξιν καὶ ἰδιότητα πρόεισι, τὰ μὲν κατὰ τὴν νοερὰν ἰδιότητα, τὰ δὲ κατὰ τὴν ψυχικὴν μεσότητα, τὰ δὲ κατὰ τὴν φυσικὴν κίνησιν.

---

23. 2-5, 9-12: Procl., inst. theol. 169.
24. 2-8: ib. 171. — 9-11: cf. ib. 172.

---

23. SH, PBC, VR 3 γάρ: γε VR / οὔτε²: οὐδὲ PC — 5 καὶ¹ om PB — 7 οὐ¹: καὶ SH — 11 εἰ: ἡ S ἢ H

24. SH, PBC, VR 6 ἀσώματος: ἀμέριστος SH — 7 ἑαυτὸν SP αὐτὸν VR / οὐδὲν post γὰρ S / δὲ om CR / αἰώνιον SVR — 9 ὑπόστατος PC / πᾶς ὁ S / καὶ ὁ: ὁ καὶ P(B)VR — 10 δημιουργὸς κόσμου VR — 12 ἅπαντα VR / ἑαυτοῦ PB — 13 τά²-14 μεσότητα SH: om Ω

25. Περὶ νοῦ. [24]

Ὅτι ὁ μετὰ τὸν ἀμέθεκτον νοῦς, ἤτοι ὁ μεθεκτός, καὶ τὸν πρῶτον νοῦν νοερῶς ἔχει ἐν ἑαυτῷ καὶ τῶν μετ' αὐτὸν πάντων νοερὰν τὴν εἴδησιν ἐκληρώσατο· κατὰ γὰρ τὸ μέτρον τῆς ἰδίας οὐσίας καὶ τὰ πρῶτα ἔχει καὶ τὰ ὕστερα ἑαυτοῦ. ὅθεν καὶ τὸν ἀμέθεκτον νοῦν νοερῶς νοεῖ — εἰ γὰρ καὶ ἀμέθεκτος, ἀλλ' ἐμφάσεις τινὰς δίδωσι τοῖς μετ' αὐτὸν τῆς ἰδίας ὑπάρξεως· — καὶ τὴν ψυχὴν δὲ καὶ τὰ φυσικὰ εἴδη νοερῶς οἶδεν. οὐ γὰρ ὡς ἔχουσι φύσεως τὰ νοούμενα, οὕτως νοεῖ· οὔτε γὰρ κρειττόνως οἶδε τὰ χείρονα οὔτε χειρόνως τὰ κρείττονα, ἀλλ' ἀμφότερα νοερῶς. οὐ γὰρ συμμεταβάλλει τοῖς νοουμένοις· πρὸς μὲν γὰρ τὸ κρεῖττον οὐ δύναται, πρὸς δὲ τὸ χεῖρον οὐ βούλεται. ὡς οὖν ἔχει φύσεως, οὕτω καὶ τὰ ὑπὲρ αὐτὸν νοεῖ καὶ τὰ μετ' αὐτόν. οὐ μὴν ἐκεῖνα ἔχει ἐν ἑαυτῷ, ἀλλὰ τὰς αἰτίας ἐκείνων. καὶ ὡς τὰ νοητὰ νοερῶς ἔχει, οὕτω καὶ τὰ αἰσθητὰ νοερῶς.

26. Περὶ νοῦ. [25]

Πάντα τὰ νοερὰ εἴδη, οἷον ψυχαί, νόες, ἄγγελοι, ἀρχάγγελοι, δυνάμεις, καὶ ὅσα τοιαῦτα, καὶ ἐν ἀλλήλοις εἰσὶ καὶ καθ' ἑαυτὸ ἕκαστον. καὶ οὔτε τὸ ἐν ἀλλήλοις εἶναι σύγχυσιν ἔχει οὔτε τῷ καθ' ἑαυτὸ εἶναι ἕκαστον μερισμὸν λαμβάνουσι. φοιτᾷ γοῦν πάντα διὰ πάντων καὶ ἐν ἑαυτῷ ἐστιν ἕκαστον. τὰ μὲν γὰρ σώματα καθ' ἑαυτὰ ἐστὶν ἕκαστον καὶ οὐ δι' ἀλλήλων φοιτᾶν δύνανται διὰ τὴν παχυμέρειαν, τὰ δὲ ἀσώματα καὶ νοερὰ εἴδη ἐκτὸς πάχους ὄντα καὶ μεγέθους δι' ἀλλήλων φοιτῶσι καὶ αὖθις ἀσύγχυτα μένουσιν. ἐν ἀλλήλοις γοῦν εἰσὶ πάντα τὰ νοερὰ εἴδη ἡνωμένως καὶ χωρὶς ἕκαστον διακεκριμένως, ὥσπερ δὴ καὶ τὰ θεωρήματα τὰ ἐν μιᾷ ψυχῇ.

27. Περὶ νοῦ. [26]

Πᾶς νοῦς πλήρης ἐστὶ τῶν θείων εἰδῶν, οἷον ἀγαθότητος, ὁσιότητος, δικαιοσύνης, ταυτότητος, ὁμοιότητος καὶ τῶν λοιπῶν. ἀλλ' ὁ μὲν θειότερος νοῦς ὁλικωτέρων ἐστὶ περιεκτικὸς εἰδῶν, ὁ δὲ ταπεινότερος μερικωτέρων. οἱ μὲν γὰρ ἀνωτέρω νόες δυνάμεσι χρῶνται μείζοσιν, οἱ δὲ κατωτέρω πληθυνόμενοι μᾶλλον ἐλαττοῦσι τὰς δυνάμεις ἃς ἔχουσι. τὰ γὰρ τῷ ἑνὶ συγγενέστερα ἐλαττότερα μέν εἰσι τῷ πλήθει τῶν ὑφ' ἑαυτά, τῇ δυνάμει δὲ ὑπεραίρει· τὰ δὲ τοῦ ἑνὸς πορρωτέρω ἔμπαλιν τῷ μὲν ποσῷ πληθυντικώτερά εἰσι, τῇ δὲ δυνάμει ἐλαττότερα. πᾶν γὰρ τὸ πληθυνόμενον ἐλαττοῦται κατὰ τὴν δύναμιν, πᾶν δὲ τὸ ἑνούμενον τῇ μὲν δυνάμει μεγεθύνεται, ἐλαττοῦται δὲ κατὰ τὴν ποσό-

---

25. 2-6, 12-14: Procl., inst. theol. 173.
26. 2-3, 5-6, 9-11: ib. 176.
27. 2-8: ib. 177.

---

25. SH, PBC, VR 3 νοερῶς: νοερὸν VR — 5 τὰ ὕστερα τὰ PBC / ἑαυτῷ VR — 7 εἴδη: οἱ δὴ VR — 10 οὐ: οὐδὲ VR — 11 ὡς: ὥστ' VR

26. SH, PB, VR 2 ψυχή SH — 3 καί² om SH — 4 τό: τῷ P / εἶναι¹ om VR / ἔχουσι SPB / τῷ: τὸ SB / ἑαυτὸν SR — 8 παχύτητος SVR — 11 τά² om SR

27. SH, PB, VR 6 κατώτεροι VR — 8 πορρώτερα PB — 10 γάρ: μὲν γὰρ VR — 12 πληθυντικωτέρα-13 διαίρεσις om SH

τητα. ἡ μὲν γὰρ ἕνωσις δυναμικωτέρα, ἡ δὲ διαίρεσις πληθυντικωτέρα· καὶ ἡ μὲν ἕνωσις ἐλάττων κατὰ τὴν ποσότητα, ἡ δὲ διαίρεσις ἀσθενεστέρα κατὰ τὴν δύναμιν.

28. Περὶ νοῦ. [II]

Πᾶν νοερὸν εἶδος ἀϊδίων ἐστὶν ὑποστατικόν· καὶ πᾶς νοερὸς ἀριθμὸς πεπέρασται. καὶ πᾶς νοῦς ὅλος ἐστὶν ὡς ἐκ μερῶν ὑποστάς, καὶ ἕκαστος καὶ ἥνωται τοῖς ἄλλοις καὶ διακέκριται ἀπ' αὐτῶν. καὶ πᾶς ὁ μετεχόμενος νοῦς ἢ θεῖος ἐστὶν ὡς θεῶν ἐξημμένος ἢ νοερὸς μόνον. καὶ πᾶς θεῖος νοῦς μετεχόμενος ὑπὸ ψυχῶν μετέχεται θείων. καὶ πᾶς νοῦς μετεχόμενος μέν, νοερῶς δὲ μένων, μετέχεται ὑπὸ ψυχῶν οὔτε θείων οὔτε νοῦ καὶ ἀνοίας ἐν μεταβολῇ γινομένων, ἀλλ' ὑπὸ τῶν κατ' οὐσίαν ἀεὶ καὶ κατ' ἐνέργειαν νοερῶν. καὶ πᾶς νοῦς τῷ νοεῖν ὑφίστησι τὰ μετ' αὐτόν, καὶ ἔστιν αὐτοῦ καὶ ἡ ποίησις ἐν τῷ νοεῖν καὶ ἡ νόησις ἐν τῷ ποιεῖν. καὶ πᾶς νοῦς νοερός ἐστι καὶ τὰ πρὸ αὐτοῦ καὶ τὰ μετ' αὐτόν. καὶ ἄλλη μὲν ἡ ἐν τῷ νῷ νόησις, ἄλλη δὲ ἡ τῆς ψυχῆς.

29. Περὶ νοῦ. [III]

Νοερὰ μὲν καὶ ἡ ψυχή, νοερὸς δὲ καὶ ὁ νοῦς· ἀλλ' ὁ μὲν κατ' οὐσίαν νοερός, ἡ δὲ κατὰ μέθεξιν. ὁ μὲν γὰρ νοῦς τὸ νοερὸν αὐτοῦ ἔχει καὶ τὸ νοῦς εἶναι καὶ τὸ νοερὸς ἓν καὶ ταυτὸ κληρωσάμενος· ψυχὴ δὲ νοερὰ τὸ πρὸς νοῦν βλέπειν, δευτέρως ἔχουσα τὸ νοεῖν, ὅπερ πρώτως ὁ νοῦς, καὶ κατὰ μετουσίαν τοῦ νοῦ λεγομένη νοερά, ὅπερ ὁ νοῦς κατ' οὐσίαν ὑπῆρχε. νοερὰ οὖν ἡ ψυχὴ διὰ τὴν τοῦ νοῦ μέθεξιν· ὅταν γὰρ ἡ ψυχὴ νοῇ καὶ ὅταν ὁ νοῦς ἐνεργῇ εἰς ἡμᾶς, τότε ἡ ψυχὴ γίνεται νοερὰ καὶ μετέχει νοήσεως. ὑπερκάθηται δὲ τῆς ψυχῆς ἡμῶν προσεχῶς ὁ μερικὸς νοῦς, ὃς λέγεται μέρος ἡμῶν ὡς ἰδίως ὑφ' ἡμῶν μετεχόμενος. ἡ γὰρ ἄνοδος ἡμῶν ἡ προσεχὴς εἰς τοῦτον καὶ ἡ πρὸς τὸν ὅλον νοῦν ἐπιστροφὴ διὰ τούτου καὶ ἡ τελειότης κατὰ τοῦτον.

30. Περὶ ψυχῆς. [IV]

Πᾶσα ψυχὴ ἢ θεία ἐστὶν ἢ μεταβάλλουσα ἀπὸ νοῦ εἰς ἄνοιαν ἢ μεταξὺ τούτων, ἀεὶ μὲν νοοῦσα, καταδεεστέρα δὲ τῶν θείων ψυχῶν. καὶ πᾶσα μὲν θεία ψυχὴ θεός ἐστι ψυχικῶς, πᾶσα δὲ νοεροῦ μετέχουσα νοῦ θεοῦ ὀπαδὸς ἀεί, πᾶσα δὲ μεταβολῆς δεκτικὴ θεοῦ ὀπαδὸς ποτέ.

---

28. 2 : ib. 178. — 2-3 : 179. — 3-4 : 180. — 4-5 : 181. — 6 : 182. — 6-9 : 183. — 9-11: 174. — 11-12 : 173.

30. 2-3 : Procl., inst. theol. 184. — 4-5 : 185. — 6-8 : 186-188, 190. — 8-9 : 191. — 9-10 : 193. — 10 : 194. — 11-12 : 195. — 12 : 197.

---

28. SH, PB, VR 2 ἀΐδιον PB — 3 ὅλως PB — 4 καὶ[1] S, Procl : om Ω — 5 ὡς: ἢ SH — 6 ὑπὸ: μὲν ὑπὸ VR — 7 νοερὸς VR — 9 τῷ: τὸ S²B — 10 αὐτοῦ: αὐτῷ VR — 11 ἑαυτοῦ VR

29. SH, PB, VR 4 ταυτὸν BV κατ' αὐτὸν P — 5 τὸ[1]: τῷ VR — 6 καὶ-νοῦς om VR — 8 νοεῖ PV / ἐνεργεῖ P — 10 ὡς: ὡς καὶ SH / ἰδίων PBVR — 11 ἐπιστροφὴ ἡμῶν VR — 12 τούτου: τὸ ἓν VR

30. SH, PBC, VR 1 περὶ νοῦ SH[P] — 4 θεία om SH — 5 ἀεί: καὶ κατὰ μετουσίαν τοῦ νοῦ λεγομένη νοερὰ add VR (= § 29⁶) / ποτέ SH, Procl : om Ω

καὶ πᾶσα ψυχὴ ἀσώματός ἐστιν οὐσία καὶ χωριστὴ σώματος, ἀνώλεθρός τε καὶ ἄφθαρτος, καὶ ζωὴ καὶ ζῶν, μέση τὲ τῶν ἀμερίστων καὶ τῶν περὶ τοῖς σώμασι μεριστῶν. καὶ πᾶσα ψυχὴ μεθεκτὴ τὴν μὲν οὐσίαν αἰώνιον ἔχει, τὴν δὲ ἐνέργειαν κατὰ χρόνον. καὶ προσεχῶς ἀπὸ νοῦ ὑφέστηκε· καὶ πάντα ἔχει δευτέρως τὰ εἴδη ἃ ὁ νοῦς πρώτως ἔχει· καὶ πάντα ἐστὶ τὰ πράγματα, παραδειγματικῶς μὲν τὰ αἰσθητά, εἰκονικῶς δὲ τὰ νοητά· οὐσία τέ ἐστι ζωτικὴ καὶ ζωὴ οὐσιώδης.

31. Περὶ ψυχῆς. [27]

Τριττόν ἐστι τὸ πάθος τῆς ψυχῆς. καὶ τὸ μὲν ἀκρότατον αὐτῆς, τὸ τοῖς νοητοῖς ἡνωμένον, νόησις ὠνόμασται· τὸ δὲ ἔσχατον, τὸ τῶν αἰσθητῶν γνωστικὸν διὰ μέσης τῆς κοινῆς αἰσθήσεως, δόξα λέγεται· τὸ δὲ μέσον, τὸ ἀνιέναι καὶ κατιέναι πεφυκός, διάνοια. καὶ μέχρι μὲν τούτων ὁ ἄνθρωπος, ἤτοι νοῦς, διάνοια, δόξα, μετὰ δὲ ταῦτα εἶναι τὸ ζῶον· ἡ μὲν γὰρ πολυποίκιλος φύσις, ἡ δὲ τῆς θείας μοίρας ὑπάρχουσα. ἡ μὲν γὰρ ἐπιθυμία πολυκέφαλον θηρίον, ὁ δὲ θυμὸς λεοντώδης, ὁ δὲ λόγος ὁ ἀληθινὸς ἄνθρωπος. ἔστι δὲ τούτου καὶ ἄλλος θειότερος ἄνθρωπος καὶ ἀληθέστερος, ὁ νοερός, ὃν αὐτοάνθρωπον προσαγορεύουσιν οἱ τῶν εἰδῶν φιλοθεάμονες. τριττὸς οὖν ὁ ἄνθρωπος, ὁ μὲν νοερὸς καὶ μονοειδής, ὁ δὲ λογικὸς καὶ τριμερὴς καὶ τριδύναμος, ὁ δὲ αἰσθητικὸς καὶ πολυειδὴς καὶ παντοδαπός. τὸ δὲ λογιζόμενον καὶ τὸ θεωροῦν ἡμεῖς ἐσμέν· ἡμεῖς γὰρ καὶ ἡ ψυχὴ ταυτόν.

32. Περὶ νοῦ καὶ ψυχῆς. [V]

Ἔχομεν τὰ εἴδη διχῶς, ἐν μὲν ψυχῇ οἷον ἀνειλιγμένα καὶ οἷον κεχωρισμένα, ἐν δὲ τῷ νῷ ὁμοῦ πάντα. νοῦς δὲ ἄλλος μέν ἐστιν ὁ κατὰ μέθεξιν, ὃν καὶ δικαιότερον ἄν τις ἔλλαμψιν προσείποι νοεράν, ἕτερος δὲ ὁ οὐσιώδης. νοῦς δὲ ἐστὶ κατὰ μέθεξιν, ὃν ἡ ψυχὴ ἔχει, ἕξιν οὖσαν τῶν παρὰ τοῦ νοῦ καθηκόντων εἰς αὐτὴν ἀγαθῶν. καὶ ὁ οὐσιώδης δὲ νοῦς διττός ἐστιν, ὁ μὲν ἀμέθεκτος, ὁ δὲ μετεχόμενος, ὃν δὴ καὶ καλεῖν εἰώθασι μερικόν. ἔχομεν δὲ τοῦτον τὸν νοῦν καὶ κοινὸν καὶ ἴδιον· κοινὸν μὲν ὡς ἀμέριστον ἕνα, ἴδιον δὲ καθόσον ἔχει ἕκαστος αὐτὸν ὅλον. καὶ τὰ μὲν ψυχικὰ εἴδη συμπληροῖ τὴν οὐσίαν ἡμῶν, τὰ δὲ νοερὰ τελειοῖ τὲ ἡμᾶς καὶ κοσμεῖ· καὶ τὰ μὲν νοερὰ ἥνωται, τὰ δὲ ψυχικὰ διῄρηται. ἔχομεν δὲ καὶ τὸν θεὸν ὡς ἐποχούμενον τῇ νοητῇ φύσει.

---

31. 2-5 : cf. Procl., exc. Vat., ed. Pitra, Analecta V p. 193, 1-2 ; Psell., PGr. 122, 1137 C 1-2. — 14 : Plot. I 1[10], p. 46, 30 Volkmann.

32. 2-3 : Plot. I 1[8], p. 45, 13-15. — 5-6 : p. 45, 7-8. — 8-10 : p. 45, 10-13. — 12-13 · p. 45, 16-17.

---

30. 6 χωρὶς SPBC — 12 εἰρηνικῶς PBC

31. SH, PBC, VR 2 βάθος ? cf PGr 122, 1137 C 1 — 6 καὶ δόξα PC — 8 γάρ: γε VR — 9 ἀληθὴς PBVR — 14 καὶ om SPC

32. SH, PBC, VR 2 διχῶς om SHPC — 4 καὶ om SH — 5 ὁ S : om Ω — 6 ὁ om CVR — 8 τοῦτον om SH — 9 ἕκαστον SHC — 10 αὐτὸς PBCVR

33. Περὶ ψυχῆς. [28]

Τῶν παρ' Ἕλλησι σοφῶν τὴν ψυχὴν Πλάτων μὲν καὶ Ἀριστοτέλης ὡς ὀργάνῳ φασὶ χρῆσθαι τῷ σώματι. δεῖ γάρ, φησὶν Ἀριστοτέλης, τὴν μὲν τέχνην χρῆσθαι τοῖς ὀργάνοις, τὴν δὲ ψυχὴν τῷ σώματι. οἱ δ' ἐκ τοῦ περιπάτου φιλόσοφοι ὡς ἔνυλον εἶδος μιγνύουσιν αὐτὴν τῷ σώματι καὶ διαπλέκουσιν. οἱ δὲ περὶ Κλεάνθην καὶ σῶμα ταύτην ἀποφαίνονται, δυναμένην μέντοιγέ ποτε καὶ τοῦ φαινομένου χωρίζεσθαι σώματος. Πλωτῖνος δέ φησι μὴ ἀναγκάζεσθαι δέχεσθαι τὴν ψυχὴν τὰ πάθη τοῦ σώματος, ἐπεὶ μηδὲ τεχνίτης τὰ πάθη τῶν ὀργάνων ὑποδέξαιτ' ἄν ποτε. αἰσθήσει δὲ χρῆσθαι φησὶν ἀναγκαῖον, τὸ γὰρ διὰ σώματος ἐνεργοῦν βοηθὸν ἔχει τὴν αἴσθησιν, ἵνα δι' αὐτῆς γινώσκῃ τὸ ἔξωθεν. εἰ οὖν ἡ ψυχὴ ἀσώματος, τὰ πάθη τοῦ σώματος οὐ διαβήσεται ἐπ' αὐτήν. εἰ δὲ καὶ ἔρχεται, οὐκ εἰς τὴν οὐσίαν αὐτῆς ἔρχεται, ἀλλ' εἰς τὰς δυνάμεις καὶ τὰς ἐνεργείας.

34. Περὶ ψυχῆς. [29]

Μίγνυται τὰ μιγνύμενα ἢ κιρνάμενα ἀλλήλοις, ὥσπερ τὰ ὑγρα, ἢ διαπλεκόμενα, ὥσπερ ὅ τε ἀὴρ καὶ τὸ φῶς, ἢ ὡς τῇ ὕλῃ τὸ ἔνυλον εἶδος. εἰ δὲ ἐφάπτοιτο μόνον, τῇ μὲν οὐσίᾳ κεχώρισται, ταῖς δὲ ἐνεργείαις μέμικται. καὶ Ἀριστοτέλης δὲ διὰ τοῦτο τὴν ψυχὴν ποιεῖ διττήν, τὴν μὲν κεχωρισμένην, τὴν δὲ ἐν σώματι τὴν ὑπόστασιν ἔχουσαν· τὸ δὲ ἐν σώματι γεγονὸς τῆς ψυχῆς εἶδος ἐν ὀργάνου τάξει τέτακται πρὸς τὴν ἄνω ψυχήν, βασιλικὴν δύναμιν ἔχουσαν. πλὴν οὐχ' ἡ ψυχὴ αἰσθάνεται ἡ ἐν τῷ σώματι οὖσα, εἴπερ κέκραται τῷ σώματι, ἀλλὰ τὸ ἔμψυχον σῶμα. τὸ γὰρ σῶμα διὰ τὴν ψυχὴν αἰσθητικὸν γέγονε καὶ ὀρεκτικὸν καὶ τῶν ἄλλων παθῶν δεκτικόν. Πλάτων δὲ τὴν ἀληθινὴν οὐσίαν τῆς ψυχῆς ἑαυτῆς φησὶν εἶναι· τὸ γὰρ ἐν ἄλλῳ τὴν ὑπόστασιν ἔχον εἶδος ποιότητα οὐσιώδη καλεῖ, ἀλλ' οὐκ οὐσίαν.

35. Περὶ ψυχῆς. [VI]

Ἡ ψυχὴ ἐν σώματι οὖσα ἢ ὀργάνῳ χρῆται τῷ σώματι ἢ ἀχώριστος ἐστὶν αὐτοῦ. ἀλλ' εἰ μὲν τὸ πρότερον, οὐκ ἀναγκάζεται δέχεσθαι τὰ πάθη τοῦ σώματος· εἰ δὲ ἀχώριστός ἐστι τοῦ σώματος, ἢ κέκραται πρὸς αὐτὸ ἢ διαπέπλεκται ἢ ὡς εἶδος ἔνυλόν ἐστιν. ἀλλ' εἰ μὲν κέκραται, οὐχ' ἡ ψυχὴ αἰσθάνεται καὶ πάσχει, ἀλλὰ τὸ ἐμψυχωμένον σῶμα· εἰ δὲ διαπέπλεκται, δυνατὸν τὴν ψυχὴν ἀπαθῆ μένειν τοῦ σώματος

---

33. 3-4 : Ar., de an. II 4, 415 b 18-20. — 4-6 : Alex. de an. p. 15, 29-16, 7 Bruns. — 6-7: cf. SVF I p. 117, frg. 518. — 8-12 : Plot. I 1³, p. 40, 28-41, 1. — 12-13 : p. 41, 6.
34. 2-4 : cf. Plot. p. 41, 13-15. — 5-6 : Ar., de an. III 4, 429 a 10-b 9.
35. 3-4 : Plot. I 1³, p. 40, 28-30. — 4-5 : p. 41, 13-15. — 7-8 : id. I 1⁴, p. 42, 3-6. — 9-12 : p. 42, 11-14. — 14-15 : id. I 1¹, p. 39, 14-15.

---

33. SH, PB, VR 4 τῶ ὀργάνω SH — 5 ἄυλον SH — 7 ἀπεφήναντο SH / δυναμένη SH — 8 δέχεσθαι post 9 σώματος S — 11 γινώσκει VR γνοίη PB
34. SH, PB, VR 3 ἢ-4 εἶδος SH : om Ω — 5 καί: καὶ ὁ S — 9 ἡ om SPB — 12 ἑαυτοῦ SH
35. SH, PBC, VR 2 κέχρηται S — 4 εἰ-σώματος² om VR — 5 διαπλέκεται VR — 7 ἀπαθῶς SVR

κακῶς πάσχοντος, ὥσπερ τὸ φῶς ἀκίνητον τοῦ ἀέρος μεταβάλλοντος· εἰ δὲ εἶδος ἔνυλόν ἐστι, τὸ συναμφότερον ἂν εἴη τὸ ἐνεργοῦν καὶ πάσχον, ἀλλ' οὐχ' ἡ ψυχή. καὶ γὰρ ἐπὶ τοῦ πελέκεως οὐχὶ τὸ σχῆμα μόνον ἐστὶ τὸ τέμνον, ἀλλὰ τὸ σύνολον, ὅπέρ ἐστιν ὁ σίδηρος ὁ οὕτως ἐσχηματισμένος. εἰ δὲ ἄυλον εἶδος ἐστὶν ἡ ψυχή, ἀδύνατον αὐτὴν δεκτικὴν εἶναι τῶν τοιούτων παθημάτων καὶ τῶν γνώσεων ἃς διὰ σώματος παραδέχεσθαι πέφυκε. τὰ δὲ πάθη ἢ αἰσθήσεις τινὲς ἢ οὐκ ἄνευ αἰσθήσεως.

36. Περὶ ψυχῆς. [VII]

Πλάτων ἐν Τιμαίῳ μὲν διακρίνει τὰ πάθη τῶν αἰσθήσεων καὶ φησὶν οὐκ ἄνευ αἰσθήσεως γίνεσθαι· ἐν δὲ τῷ δευτέρῳ τῶν Νόμων τὰς ἡδονὰς καὶ τὰς λύπας αἰσθήσεις προείρηκεν. ἐχρῶντο δὲ οἱ μὲν λέγοντες τὰ πάθη μηδὲν διαφέρειν τῶν αἰσθήσεων τοιῷδε λόγῳ· τὰ ἡδέα καὶ λυπηρὰ αἰσθητά εἰσιν, εἰ δὲ ταῦτα αἰσθητά, καὶ αἱ ἡδοναὶ καὶ αἱ λύπαι αἰσθήσεις τινές. οἱ δὲ διακρίνοντες τὰ πάθη τῶν αἰσθήσεων τὰ μὲν πάθη ἀνῆγον ἐπὶ τὴν ὀρεκτικὴν δύναμιν, τὰς δὲ αἰσθήσεις ἐπὶ τὴν κριτικήν· ἄλλο δὲ εἶναι τὴν ὄρεξιν καὶ ἄλλο τὴν κρίσιν. τὸ δὲ ζῶον τριττόν· ἢ γὰρ τὸ σῶμα τὸ φυσικὸν καὶ ὀργανικὸν καὶ δυνάμει ζωὴν ἔχον· ἢ τὸ κοινόν, τοῦτο δέ ἐστι τὸ ἐξ αὐτῆς τῆς ψυχῆς καὶ τοῦ σώματος· ἢ ἕτερόν τι τρίτον ἐπ' ἀμφοῖν γεγενημένον, τοῦτο δέ ἐστι τὸ ἐκ τῆς δευτέρας ζωῆς καὶ τοῦ σώματος.

37. Περὶ ψυχῆς. [VIII]

Καὶ καθ' ἑαυτὴν μὲν ἡ περὶ ψυχῆς γνῶσις καλὴ καὶ τιμία, μειζόνως δὲ καὶ πρὸς πᾶσαν ἀλήθειαν συντελεῖ, τουτέστι πρὸς τὴν τῶν ὄντων ἐπιστημονικὴν γνῶσιν· ἀλλὰ καὶ πρὸς τὴν φυσικὴν θεωρίαν μάλιστα, διότι ὡς ἐξ αἰτίας τὰ αἰτιατὰ γινώσκει. ἡ γὰρ ὡς ἐξ αἰτίων τῶν αἰτιατῶν γνῶσις κυριωτέρα τῆς ἐκ τῶν αἰτιατῶν εἰς τὰ αἴτια ἀναγομένης. τούτων δὲ τῶν φυσικῶν οἷον ἀρχὴ ἡ ψυχή· 'οἷον' δὲ εἴρηκα, διότι τὸ εἶδος καὶ ἡ νοερὰ καὶ ἀμέριστος οὐσία ὄντως ἀρχή, ἡ δὲ ψυχὴ ἐκβᾶσα τῆς ἀμερίστου οὐσίας καὶ τῆς ἀληθῶς ἀρχῆς ἀπολείπεται. ἐπιζητοῦμεν δὲ θεωρῆσαι καὶ γνῶναι τήν τε φύσιν αὐτῆς καὶ τὴν οὐσίαν. δηλοῖ δὲ ἡ μὲν θεωρία τὴν ἐκ τῶν τῇ αἰσθήσει φυομένων ἀναφορὰν εἰς τὴν περὶ αὐτῆς ἀλήθειαν, ἡ δὲ γνῶσις τὴν κατὰ λόγον ἐπιστημονικὴν κατάληψιν.

---

36. 2-3: Pl., Tim. 61 C; cf. 64 A-68 D. — 3-4: Pl., legg. II 653 A. — 9-12: Plot. I 1[6], p. 42, 20-22.
37. 2-4: Simpl., de an., p. 7, 32-34 Hayduck. — 4-9: p. 8, 12-19. — 10-13: p. 8, 23-24; 27-29.

---

35. 10 τὸ om S — 11 μόνον om SH / τεμνόμενον VR
36. SH, PB, VR 2 ἐν: ἐν τῶ S — 3 αἰσθήσεως: αὐτὰ add VR — 7 τινές: εἰσὶν SH — 8 ἀνῆγον om S / ὀρεκτικὴν: ἀνέφερον add S — 9 δὲ[2] om SH — 12 γενόμενον S
37. SH, PB, VR 2 περὶ ψυχῆς: ψυχικὴ S — 4 ἐπιστημονικῶν VR — 5 ἡ: εἰ PB — 8 τὸ om PB — 8-9 ἡ δὲ ψυχὴ om VR — 9 ἀληθοῦς S — 11 φαινομένων Simpl — 13 κατάληψιν: γνῶσιν VR

38. Περὶ ψυχῆς. [VIII]

Οὐκ εὔκολος ἡ τῆς ψυχῆς κατάληψις, ἐπειδὴ καὶ πᾶσα ἐπιστημονικὴ ἕξις δυσκατάληπτος. πρὸ γὰρ πάντων τὸ γένος αὐτῆς ὀφείλομεν λαβεῖν καὶ τότε τὴν διαφοράν. ἀμφισβητεῖται δὲ ἐπὶ ψυχῆς, εἰ τὸ γένος αὐτῆς οὐσία ἢ ποιὸν ἢ ποσόν. οἱ μὲν γὰρ οὐσίαν αὐτήν φασιν· οἱ δὲ ποιόν, οἷον ἁρμονίαν ἢ κρᾶσιν· Ξενοκράτης δέ, ἀριθμὸν αὐτὴν φάμενος, ἐν ποσῷ τίθεται. καὶ οὐδὲ καθαρῶς ἐστιν ἐντελέχεια, οὐ γὰρ ἀεὶ κατὰ τὴν τελείαν ἵσταται ἐνέργειαν, ἀλλ' ἐνίοτε κατὰ τὴν ἀτελεστέραν τὴν κατὰ τὴν ἕξιν· καὶ οὐδὲ καθαρῶς ἀμέριστος, δηλοῖ δὲ τοῦτο ἡ κατὰ μέρος ἐπὶ τῶν ζητουμένων διέξοδος αὐτῆς. ζητήσεως δὲ ἄξιον καὶ εἰ ὁμοειδεῖς ἀλλήλαις αἱ ψυχαὶ πᾶσαι, ἡ φυτική, ἡ αἰσθητική, ἡ λογική. ὁμοειδῆ δέ ἐστι τὰ καθ' ἓν τὸ εἰδικώτατον εἶδος ὁριζόμενα· τὰ γὰρ κατά τι κοινότερον ὁμογενῆ.

39. Περὶ ψυχῆς. [IX]

Ἰστέον ὅτι ὁμοειδεῖς ἡ φυτικὴ ψυχὴ καὶ ἡ αἰσθητικὴ καὶ ἡ λογικὴ ἐν τῷ ἀνθρώπῳ οὖσαι, καὶ ἀδιάφοροι κατ' εἶδος πρὸς ἀλλήλας αὗται· ἀνομοειδεῖς δὲ αἱ τῶν διαφόρων ζῴων δυνάμεις πρὸς τὰς τοῦ ἀνθρώπου, οἷον ἡ τοῦ ἵππου αἰσθητικὴ πρὸς τὴν τοῦ ἀνθρώπου αἰσθητικήν. πᾶσαι γὰρ αἱ ἀνθρώπειαι καθ' ἓν εἰδικώτατον ὂν τὸ ἀνθρώπειον χαρακτηρίζονται εἶδος· λόγοις δὲ διαφόροις ποικίλλονται, πολλοὶ γὰρ οἱ καθ' ἕκαστον εἶδος λόγοι. κἂν πᾶσαι δὲ ψυχαὶ καὶ ζωαί τινες, ἀλλὰ κατὰ τὸ πρότερον καὶ ὕστερον ἀλλήλων διαφέρουσαι οὐδ' ἂν ὑφ' ἓν τελοῖεν γένος· τοιαῦτα γὰρ τὰ ὁμοταγῆ, τὰ δὲ ὕστερα τοῖς πρώτοις ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν κοινωνεῖ. εἰ μὲν γὰρ ὁμοειδεῖς πᾶσαι, εἷς ἔσται πασῶν λόγος· εἰ δὲ ἀνομοειδεῖς, καθ' ἕκαστον εἶδος ἕτερος. καὶ τὸ μὲν εἰδικώτατον εἶδος αὐτοτελῆ δηλοῖ ὕπαρξιν· τὸ δὲ γένος ἄνευ τῶν εἰδῶν οὐχ' ὑφέστηκεν, ὡς δὲ μερικὸς λόγος ἐν τῷ εἴδει περιεχόμενος ὕστερον τοῦ εἴδους.

40. Περὶ ψυχῆς. [IX]

Τὰς πολλὰς ἐν ἑκάστῳ ζῴῳ ζωάς, εἴτε μόρια εἶεν εἴτε δυνάμεις, ὁμοειδεῖς μέν, κατὰ λόγους δὲ διαφερούσας ῥητέον, τὰς δὲ ἐν τοῖς

---

38. 2-3 : ib. p. 9, 27-28. — 3-7: p. 10, 21-22 ; 28-29 ; 32-35. — 7-9 : p. 11, 15-18. — 9-10 : p. 11, 28-31. — 10-13 : p. 12, 2-4.
39. 2-8 : ib. p. 12, 15-23. — 8-11: p. 12, 25-28. — 11-12 : p. 13, 3-5. — 12-13 : p. 13, 11. — 13-15 : p. 13, 14-15 ; 19-20.
40. 2-7: ib. p. 13, 31-14, 7. — 7-9 : p. 14, 12-13. — 9-11: p. 14, 29-31. — 11-13 : p. 14, 37-15, 2.

---

38. SH, PBC, V 3 πρὸς SH — 4 εἰ: ἢ SHB — 5 ἢ²-ποιόν om V — 7 ἐνδελέχεια V — 7-8 κατὰ τὴν τελείαν: καταλείαν SH — 8 τὴν¹ om V — 11 φυσικὴ SH — 13 κοινότερα SC
39. SH, PBC, VR 2 ὁμοειδὴς SCR / φυσικὴ S¹HC / ψυχὴ om PB — 3 οὖσα SCR / διάφοροι SH — 4 ἀνομοιοειδεῖς SC / πρὸς: παρὰ S — 6 ἀνθρώπινον S — 8 δὲ: αἱ S — 9 καὶ ὕστερον om SH — 11 ὡς om SH — 12 ἔστι VR / ἕτεροι S
40. SH, PB, VR 3 δὲ¹ om SHVR

ἀνομοειδέσι ζώοις καὶ κατ' εἶδος ἐξηλλαγμένας θετέον, ἵνα καὶ προηγουμένως τὸ κατ' εἶδος αὐτῶν διάφορον ἐκ τῶν ψυχῶν ἐφίκῃ. καὶ τὸ μὲν φυσικὸν μόριον ἕτερον τοῦ ὀρεκτικοῦ, τὸ δὲ θρεπτικὸν καὶ αὐξητικὸν καὶ γεννητικὸν οὐ πλείω, ἀλλ' ἓν πάντα. χαλεπὴ δὲ καὶ δυσδιάκριτος ἐπὶ τῶν μέσων ἢ τῶν ἀντικειμένων θέα διὰ τὴν πρὸς τὰ ἄκρα τῶν μεταξὺ κοινωνίαν. ἐπιστημονικὸν δὲ ἐκ τοῦ τί ἐστι, τουτέστιν ἐκ τοῦ τὸ εἶναι ἐμφαίνοντος ὁρισμοῦ, τὰ καθ' αὑτὰ συμβεβηκότα θεωρεῖν ταῖς οὐσίαις, διότι ἐξ αἰτίου ἡ θεωρία. ὅταν δὲ τὸ ἓν οὐκ ἔστιν ἐξ ἑαυτοῦ γνώριμον, ἐκ τῶν καθ' αὑτὰ συμβεβηκότων αὐτῷ γινώσκεται.

41. Περὶ ψυχῆς. [X]

Ἐπὶ μὲν τῶν μαθημάτων γνώριμον τὸ τί ἦν εἶναι ἑκάστου διὰ τὸ ποσὰ ἄττα ἢ ποιὰ εἶναι τὰ ὁριζόμενα, ὧν καὶ ἡ αἴσθησις καὶ ἡ φαντασία ἀντιληπτική· ὅσα δὲ οὐσίαι, ὧν λόγος καὶ νοῦς θεωρητικός, οὐκ ἐξ ἑαυτῶν φανερὰ τοῖς κατ' αἴσθησιν ζῶσιν, ἀλλ' ἐκ τῶν συμβεβηκότων αὐτοῖς ἡ ἐπ' αὐτὰ ἀναφορά, ὃς τρόπος καὶ ἐπὶ ψυχῆς ἀναγκαῖος. καὶ ἀπόδειξις ἡ ἐκ τοῦ τί ἐστι τὰ συμβεβηκότα συλλογιζομένη, ἀλλ' οὐχὶ ἀνάπαλιν ἡ ἐκ τούτων εἰς τὴν οὐσίαν ἀναδρομή. πάθη δὲ ψυχῆς οὐχ' ἁπλῶς πᾶσα αὐτῆς ἐνέργεια, ἀλλὰ τῆς παθούσης καὶ ἔξω ἀφ' ἑαυτῆς προϊούσης. καὶ πᾶσα μὲν ψυχὴ οὐσία ἐστί, καὶ ἡ ἐσχάτη, οὐ πᾶσα δὲ χωριστὴ σώματος. αἰσθήσεις γὰρ πᾶσαι καὶ φαντασίαι οὐκ ἄνευ σωμάτων· ὥστε οὐδὲ ἡ ταῦτα πάσχουσα καὶ ἐνεργοῦσα ψυχὴ πάντῃ χωριστή, οἰκεῖαι γὰρ ἐπὶ ταῖς οὐσίαις αἱ ἐνέργειαι.

42. Περὶ ψυχῆς. [XI]

Πολλαὶ αἱ κατὰ βάθος τοῦ ἀχωρίστου διαφοραί. αἱ μὲν γὰρ ἔσχατοι ἀχώριστοι ὡς τοῦ ὀργανικοῦ σώματος οὖσαι ἐντελέχειαι, καθ' ἃς ζωτικῶς δύναται κινεῖσθαι· αἱ δὲ ὡς κινητικαὶ τοῦ ὀργάνου ἀνάλογον τῷ πλωτῆρι, δύνανται γὰρ καὶ χωριστὰς ἔχειν ἐνεργείας, ὡς καὶ ὁ πλωτὴρ τῆς νεὼς τὰς βαδιστικάς. ἄλλον δὲ τρόπον ἀχώριστοι αἱ πρακτικαὶ τοῦ λόγου ἐπιστῆμαι κατὰ μόνην τὴν ἐλάττονα αἰσθήσει καὶ φαντασίᾳ συμπλεκόμεναι καὶ διὰ τοῦτο κοιναὶ καὶ τοῦ ἔχοντος, κατὰ δὲ τὴν μείζονα οὐδὲν αὐτοῦ προσδεόμεναι. ὁμοίως δὲ καὶ ὅσαι θεωρητικαὶ τῶν φυσικῶν ὄντων. αἱ δὲ περὶ τὰ νοητὰ μέν, κατὰ προβολὴν δέ, ἐνεργοῦσαι οὐκ ἄνευ φαντασίας εἰσίν· ἀχώριστοι οὖν καὶ αὗται. ἡ δὲ μόνιμος καὶ εἰς τὸ οὐσιῶδες συναιροῦσα τὴν ἐνέργειαν παντελῶς ἐστὶ χωριστή.

---

41. 2-6: Simpl., de an., p. 15, 2-7. — 6-8: p. 15, 10-12. — 8-10: p. 15, 27-28. — 10-11: p. 15, 35. — 11-13: p. 16, 10-12; 7-8.
42. 2-13: ib. p. 16, 13-29.

---

40. 4 ἐξηλλαγμένας-5 εἶδος om VR — 6 ὁριστικοῦ S mg, HVR — 9 ἐπιστημονικὴν SVR — 10 ἐκφαίνοντος VR, Simpl / καθ' αὑτὰ: κατὰ VR — 12 αὐτοὺς SH / αὐτῷ: αὐτὰ PB
41. S, PB, VR 2 ἕκαστον S — 3 πόσα SBR / ἢ: καὶ S / ποῖα SBVR — 4 οὐσίας S — 5 αὐτῶν S, Simpl — 6 καὶ[2]: καὶ ἡ PB — 8 δὲ: γὰρ S — 9 ἡ ἐνέργεια S / ἀφ' om S / αὐτῆς S — 10 ποιούσης S
42. S, PB, VR 3 ἐνδελέχειαι VR — 4 δύναται Simpl: δύνανται S δύνασθαι Ω — 10 φυσικῶν SVR — 12 συναινοῦσα VR

43. Περὶ ψυχῆς. [XII]

Ὅτι τὰ πάθη τῆς ψυχῆς διὰ τὴν εἰς τὸ σῶμα ῥοπὴν οὕτως ὠνόμασται· ἃ καὶ ἀχώριστά εἰσι τοῦ σώματος. καὶ ἄλλο μέν ἐστιν ἡ εἰδοποιοῦσα τὸ σῶμα ζωὴ τῆς ψυχῆς ὡς ὄργανον, ἄλλη δὲ ἡ χρωμένη καὶ κινοῦσα τὸ ὄργανον, τουτέστι τὸ ζῶν σῶμα. καὶ τὰ μὲν ὡς παρακολουθοῦντος μόνον τοῦ σώματος πάθη ἐνέργειαι· τὸ γὰρ νοεῖν, κἂν μὴ ἄνευ φαντασίας, ἐνέργεια μᾶλλον ἢ πάθος· τὰ δὲ ὡς ὄργανον τὸ σῶμα εἰδοποιοῦντα, πάθη, οἷον θυμός, πραότης, καὶ τὰ ὅμοια, ἅπερ τοῦ κινουμένου μὲν ζωτικῶς ἐστι πάθη ὡς πάσχοντος, τῆς δὲ ψυχῆς ὡς κινούσης. ἔστι δὲ καὶ ἐν ταῖς ἐνεργείαις ὑπόβασις καὶ διαστροφή, ὅπερ ἕτερον τρόπον πάθος φαμέν. κοινὰ δὲ τοῦ ἔχοντος σώματος τὰ τοιάδε πάθη, μεταβάλλει γὰρ τὸ σῶμα. ὅταν δὲ καὶ μηδενὸς ἔξωθεν συμβαίνοντος δυσχεροῦς οἱ μελαγχολικοὶ ἐν φόβοις γίνωνται, φανερὰ ἡ ἀπὸ τῆς τοῦ σώματος διαθέσεως αἰτία τῶν παθῶν.

44. Περὶ ψυχῆς. [30]

Διαφόρως ὁρίζεται τὴν ψυχὴν ὁ φυσικὸς καὶ ὁ διαλεκτικός. ὁ μὲν γὰρ φυσικὸς ἀντιλαμβάνεται τῆς ψυχικῆς οὐσίας, καθόσον ἐστὶ σωμάτων ἀχώριστος. ὁ γοῦν φυσιολόγος ἐπιστημονικὸς ὢν καὶ ὡς ἀχώριστον εἴσεται καὶ ὅπως ἀχώριστον καὶ τίνος σώματος ἀχώριστον. ὁ δὲ διαλεκτικὸς καὶ τοὺς οὐσιώδεις λόγους ὡς καθ' ἑαυτοὺς ὄντας ἐπινοεῖ. ὁ δὲ μαθηματικὸς ἐξ ἀφαιρέσεως τούτους ἐπισκέπτεται. ὁ δὲ πρῶτος φιλόσοφος περὶ τὰς χωριστὰς ζωὰς τῆς ψυχῆς πραγματεύεται. δεῖ δὲ ζητεῖν πότερον οὐσία ἡ ψυχὴ ἢ οὔ· καὶ εἰ οὐσία, δυνάμει ἢ ἐνεργείᾳ· καὶ σῶμα ἢ ἀσώματος ἢ ἄμφω τρόπον τινά· καὶ ἐκ τῶν ὑπαρχόντων τῇ ψυχῇ τὴν οὐσίαν αὐτῆς ἐννοεῖν. ἡ δὲ λογικὴ ἡμῶν ζωή, ἣν προσαγορεύει νοῦν Ἀριστοτέλης, ἐν τῇ πρὸς τὸ σῶμα νεύσει χωριστή τε ἅμα ἐστὶ καὶ ἀχώριστος.

45. Περὶ ψυχῆς. [XIV]

Ἡ μὲν φύσις οὐ τοῦ κινεῖν, ἀλλὰ τοῦ κινεῖσθαι ἐστὶν ἀρχὴ τῷ σώματι ἐν ᾧ ἐστίν, ἡ δὲ ψυχὴ οὐχ' ἁπλῶς, ἀλλὰ τοῦ ζωτικῶς καὶ ἔνδοθεν· διὸ οὐ τοῦ κινεῖσθαι μόνον κατάρχει τοῖς ζώοις, ἀλλὰ καὶ ὡς αὐτὴ κινητική. τὴν δὲ ἐνδοθεῖσαν τῷ σώματι ζωὴν παρὰ τῆς ψυχῆς οὐ πάνυ ψυχὴν Ἀριστοτέλης καλεῖ, ἀλλ' ἢ μέρος ψυχῆς ἢ οὐκ ἄνευ ψυχῆς. καὶ τὸ μὲν πρώτως κινοῦν οὐκ ἀνάγκη κινεῖσθαι, ἵνα καθαρῶς ἐν τῇ τοῦ κινεῖν

---

43. 2-9 : ib. p. 18, 21-31. — 9-14 : p. 19, 19-20 ; 31-33 ; 38-40.
44. 2-4 : ib. p. 21, 9-12. — 4-5 : p. 21, 21-23. — 5-6 : p. 22, 31-32. — 7-8 : p. 23, 7-10 ; 12. — 8-10 : p. 24, 2-4. — 11-13 : p. 23, 13-15.
45. 2-6 : ib. p. 24, 27-32. — 6-12 : p. 25, 16-22. — 12-13 : p. 25, 8-9.

---

43. S, PBC, VR 2 τὸ om S — 5 ὡς om SC / παρακολουθοῦντα SPBC — 10 ὑπόστασις S — 11 σώματα S, Simpl v l — 13 γίνονται SP / καὶ φανερὰ S / τῆς CV, Simpl : om Ω — 14 διαθέσεως Simpl : post παθῶν PBC om SVR
44. S, PB, VR 2 ὁ² om VR — 3-4 τῶν σωμάτων PB — 8 χωριστικὰς PVR — 10 ἀσώματον S — 11 ἡ ζωή PB
45. S, PB, VR 3 δὲ om VR / ζωτικοῦ PB

μένῃ αἰτίᾳ· τὰ δὲ μέσα κινεῖσθαί πως βούλεται ὁ Πλάτων, ὡς τοῦ πρώτου κινητικοῦ νοῦ ὑποβάντα, ἀλλ' οὐ τὴν σωματοειδῆ κίνησιν, ἐσχάτην οὖσαν καὶ τῶν μόνως κινουμένων. καὶ γὰρ ἡ φύσις παρ' ἐκείνῳ κινεῖται διὰ τὴν ἐκ τοῦ ἀμερίστου ὑπόβασιν, καὶ μειζόνως ἡ ψυχή. Ἀναξαγόρας δὲ οὐ σαφῶς ψυχὴν λέγει τὸν νοῦν, ὃν πρῶτον κινοῦν τίθεται.

46. Περὶ ψυχῆς. [XV]

Οὐχ' ἁπλῶς κινητὴ ἡ ψυχή, ἀλλ' αὐτοκίνητος, ὡς οὐ παντελῶς τῆς ἀμερίστου οὐσίας καὶ ἐνεργείας ἀποστᾶσα. τὸ μὲν γὰρ αὐτὸ τὴν ἀμέριστον οὐσίαν καὶ τὴν τελείαν ἐνέργειαν δηλοῖ· τὸ δὲ κινητὸν τῆς μερικῆς ἐστὶ σημαντικόν. τῇ οὖν μεσότητι τῆς ψυχῆς τὸ ἐκ τῶν ἄκρων σύνθετον ἀποδέδοται ὄνομα διὰ τὴν πρὸς ἄμφω τὰ ἄκρα τοῦ μέσου κοινωνίαν. ὁ δέ γε Ἀριστοτέλης αὐτοκίνητον ὀνομάζει τὴν ψυχὴν πολλάκις διὰ τὸ μηδὲν ὁρᾶν αὐτῆς κινοῦν, ὃ μὴ καὶ αὐτὸ κινεῖται. εἰ δὲ καὶ ὁ νοῦς πρώτως κινεῖ, πάντῃ ὢν ἀκίνητος, ἀλλὰ σὺν τῇ ψυχῇ καὶ τῇ φύσει. Ἀναξαγόρας δὲ τὸν κατὰ φρόνησιν νοῦν οὐκ ἐν πᾶσιν ἀνθρώποις τίθεται, οὐχ' ὡς μὴ ἔχουσι τὴν νοητικὴν οὐσίαν, ἀλλ' ὡς μὴ χρωμένοις αὐτῷ ἀεί. δυσὶ δὲ τούτοις χαρακτηρίζεται ἡ ψυχή, τῷ τε κινητικῷ καὶ τῷ γνωστικῷ.

47. Περὶ ψυχῆς. [31]

Ψυχὴ ἑαυτὴν γνοῦσα, καὶ ὅτι θεῖον ἔχει ἀξίωμα, πόρρω μὲν τῆς φύσεως ἵσταται, πάντῃ δὲ τῶν σπερμάτων προέχει, πολὺ δ' ἔτι τούτων πρότερον πάντων σωμάτων κεχώρισται καὶ ἐφ' ἑαυτῆς ἥδρασται, ἄνω που καθημένη τῶν φυσικῶν λόγων καὶ τῶν σπερματικῶν, εἰπεῖν δὲ καὶ αὐτοῦ τοῦ παντός. οὐ γὰρ ἀπὸ τῆς τῶν ἄστρων ἀπορροίας τῷ σώματι παραγίνεται οὔτε ἀπὸ φύσεως εἰς γένεσιν ἔρχεται οὔτε σπερματικοὶ λόγοι ταύτην εἰς τὸ σῶμα ἐξακοντίζουσιν, ἀλλ' ἄνωθεν ἀπὸ τοῦ θεοῦ κάτεισιν. ἀγνοήσασα δὲ ἑαυτήν, καὶ ὅτι τῆς ἄνωθεν εὐγενείας ἐστὶ καὶ ἐλευθέρα καθέστηκε, δουλοπρεπῶς θητεύει τῷ σώματι καὶ τὴν ἐλευθερίαν ἀπόλλυσι, καὶ ὁ μέγας αὐτῆς ὀφθαλμὸς ὑπὸ τοῦ φυσικοῦ καλύμματος καταχώννυται ἢ ἀποσβέννυται.

48. Εἰ μεταβάλλει ψυχὴ εἰς ἄγγελον. [32]

Οὐ μεταβάλλει τὰ κατ' οὐσίαν ἕτερα εἴδη τῆς ζωῆς εἰς ἄλληλα· οὐ

---

46. 2-7: Simpl., de an., p. 26, 23-28. — 7-10 : p. 26, 32-35. — 10-12 : p. 27, 20-24. — 12-13 : p. 27, 26-27.

47. 2-12 : cf. Plot. V 1[1]. — 7-8 : cf. Psell., PGr. 122, 1144 D 4-6.

48. 6-7: Gen. 1[27]. — 8-14 : cf. Psell., Scripta minora, ed. Kurtz-Drexl I p. 411, 11-16.

---

45. 9 νοῦ om VR — 11 ἐκείνων S

46. PB, VR 3 αὐτὸ: αὐτοκίνητον PB

47. AFDN, SWH, PB, VR 3 πάντων DNPBVR / δέ τι AFD — 6 ἀστέρων SW — 7 περιγίνεται SWH — 9 καὶ[1] om N — 12 ἀπόλλυται AFD

48. AFDN, SWH, PB, VR 1 ἡ ψυχὴ AF — 2 εἴδη om AF — 3 καὶ: τὰ add AFSR — 7 πρὸς om VR — 9 καὶ AFSW : om Ω — 10 τις: καὶ σοφία add AFD — 12 αὐτοτελὴς NSWHPBVR

γάρ ἐστιν ὅμοια τὰ γεννητὰ καὶ μεταβλητὰ τοῖς ἀμεταβόλοις. ἀλλὰ ψυχὴ ἄγγελος μὲν ἢ ἀρχάγγελος γενέσθαι οὐ δύναται, μιμεῖται δὲ ὅσον εἰκὸς τὰς ἐνεργείας αὐτῶν, καὶ πρὸς τὰ ὑπερέχοντα γένη ἀπεικονίζεται. ἐπεὶ καὶ κατ' εἰκόνα θεοῦ γεγένηται, ἡ δὲ εἰκὼν ὁμοίωσιν ἔχει πρὸς τὸ παράδειγμα· εἰ δὲ ὁμοιοῦται θεῷ, πολλῷ μᾶλλον ταῖς ὑποδεεστέραις δυνάμεσι. καὶ πᾶσα μὲν ψυχὴ κατ' εἰκόνα πεποίηται τοῦ θεοῦ, οὐ πᾶσα δὲ ἔχει καὶ τὸ καθ' ὁμοίωσιν. τὸ μὲν γὰρ κατ' εἰκόνα δύναμις ἐστὶ πρὸς τὴν τῶν καλῶν ἐργασίαν καὶ οἷον ἀρχή τις καὶ ἀφορμὴ τῶν ἀγαθῶν πράξεων καὶ οἷον σκιαγραφία τῶν ἀρετῶν· τὸ δὲ καθ' ὁμοίωσιν ἐνέργεια ἐστὶν αὐτοθελὴς καὶ ἀπηρτισμένη εἰκών. οὐ πάντες δὲ ὁμοίως τὸ καθ' ὁμοίωσιν ἔχομεν, ἀλλ' οἱ μὲν μᾶλλον, οἱ δὲ ἔλαττον.

49. Εἰ ἄναρχος ἡ ψυχή. [33]

Οὐκ ἔστιν ἀρχὴ καθ' ἑαυτὴν ἡ ψυχή, οὐδὲ ἀγέννητος οὕτως ὡς ἄνευ αἰτίας ἑτέρας αὕτη πρὸ τῶν ἄλλων ὑπάρχουσα. τίς δὲ ἡ αἰτία ἀφ' ἧς πρώτης ἤρτηται; παντί γε τοῦτο σαφές, ὡς ἡ δημιουργική, ἄρχει γὰρ αὕτη πάσης τῆς τῶν ὄντων ἀπογεννήσεως. τίς δὲ ἡ πρόοδος αὐτῆς καὶ πῶς προῆλθεν; ἡμεῖς μὲν οὐσιοποιοῦμεν αὐτὴν ἀπὸ τοῦ ἐμφυσήματος ᾧ ἐνεφύσησεν εἰς τὸν πρῶτον ἄνθρωπον ὁ θεός. Ἕλληνες δὲ ποικιλώτερον περὶ τούτου διεξίασιν, ὥσπερ δὴ καὶ περὶ τῶν ἄλλων, ὅτι διὰ μόνην τὴν τελειότητα ἀπογεννᾷ τὰ παραγόμενα ὁ θεός, καὶ ἵνα τὸ ξύμπαν τέλειον ἀποδείξῃ, ὁμοῦ μὲν πάντα παράγει· ἕκαστον δὲ κατὰ τὴν οἰκείαν τάξιν πρόεισι, τὸ ὂν ἀφ' ἑαυτοῦ, ἡ ζωὴ ἀπὸ τοῦ ὄντος, ὁ νοῦς ἀπὸ τῆς ζωῆς, ἡ ψυχὴ ἀπὸ τοῦ δημιουργικοῦ νοῦ. ἔστιν οὖν, φασίν, ἡ ψυχὴ νοῦ γέννημα ἀχρόνως ἐξ αὐτοῦ προϊοῦσα.

50. Ἀκριβέστερον περὶ ψυχικῶν δυνάμεων. [34]

Οἱ μὲν πολλοὶ τῶν φιλοσόφων ἁπλῶς οὕτως δυνάμεις ψυχῆς ὀνομάζουσι. χρὴ δὲ οὕτως διαιρεῖν, ὡς εἰσι νοεραὶ δυνάμεις τῆς ψυχῆς, αἱ μὲν νοεραὶ καὶ εἰς τὸν ἄϋλον ἀναγόμεναι νοῦν τὸν κρείττονα τῆς ψυχῆς· αἱ δὲ πληρούμεναι αὐτοῦ τοῦ νοῦ τῆς ψυχῆς, ὅστις ἐξ ἀϊδίου αὐτῇ συνυπάρχει· αἱ δὲ ὁρίζουσαι τὰς δυνάμεις τῆς ψυχῆς ὅλας καὶ διατάττουσαι κατὰ τὴν νοερὰν νόησιν· αἱ δὲ διαθεσμοθετοῦσαι ὥσπερ νόμοι τινὲς ἔμψυχοι τὰ δεύτερα τῆς ζωῆς εἴδη μετὰ τὸν νοῦν· καὶ αἱ μὲν ἀγαθοειδεῖς, αἱ δὲ τῷ καλῷ ἀποσεμνυνόμεναι. Ἰάμβλιχος δὲ ὁ φιλόσοφος περιττότερος τοῦ δέοντος ὢν κατάγει τὴν λογικὴν ψυχὴν ἀπὸ τοῦ θεοῦ ἄχρι τῆς γῆς, καὶ ἐν ἑκάστῃ μερίδι τοῦ παντὸς ἀλλάττει τὰς δυνάμεις αὐτῆς· καὶ ἄλλας μὲν αὐτῇ ἐν οὐρανῷ τίθεται, ἄλλας δὲ ἐν τοῖς στοιχείοις, ἄλλας δὲ ἐν τῷ παχεῖ σώματι.

---

49. 6-7: Gen. 2⁷.

---

49. AFDN, S, PBC, VR 2 ὡς om NS — 3 ἑτέρας om NBR ἄλλης C / ἑτέρας αἰτίας V / αὐτὴ N — 4 εἴρηται PBCVR / ἀρχὴ DN — 5 τῶν om BC — 6 οὐσιοποιοῦ VR — 7 ᾧ: ὃ DS — 7-8 ποικιλώτερον post τούτου A post διεξίασιν D — 8 τούτων N — 9 τὰ παραγενόμενα AFD om N — 11 οἰκείαν: ἰδίαν SPBVR — 12 δημιουργοῦ VR / φασίν PBC: φησίν Ω

50. AFDN, SWH, PBC, VR 3 εἰσι: αἱ μὲν add D — 3-4 αἱ μὲν νοεραὶ om AFD — 5 αἱ-ψυχῆς om PBC / νοῦ: νοῦ τοῦ F νοητοῦ A / ὅστις: ὃς PB — 8 τὸν om AF — 11 μέχρι PB / ἐν om AFD — 12 τίθεται om PBC

51. Πῶς ὁ Πλάτων γεννητὴν ὁμοῦ τὴν ψυχὴν καὶ ἀθάνατον ἀποφαίνεται. [35]

Ἀγέννητον μὲν τὴν ψυχὴν ὁ Πλάτων οἴεται δι' ἣν ἀεὶ ἔχει οὐσίαν καὶ ζωήν· οὐ γὰρ ὑπὸ χρόνον, οὐδὲ μὴ οὖσα, φησί, γεγένηται. ἐπεὶ δὲ οὐκ ἔχει ἄπειρον τοῦ εἶναι δύναμιν ἀλλ' ἀεὶ δέχεται ταύτην ἀπὸ τῶν ὑπερκειμένων οὐσιῶν, κατὰ τοῦτο γεννητὴν δογματίζει. τὸ μὲν γὰρ ὂν ἀγέννητον, πᾶν δὲ τὸ γινόμενον γεννητόν. ἀεὶ μὲν οὖν ἐστὶν ἡ ψυχὴ κατὰ τὴν οὐσίαν καὶ τὴν ζωήν, καὶ διὰ ταύτην τὴν ὑπόθεσιν αἰώνιος· γινόμενον δὲ ὡς μὴ δυνάμενον δέξασθαι τὴν ἀπειρίαν τοῦ εἶναι, ἀλλ' ἄνωθεν ἀπειρουμένη καὶ ἐπιναουμένην αὐτῇ τὴν ἀθανασίαν ἔχουσα. οὐ γὰρ ἐπὶ σωμάτων μόνων ἡ γένεσις ἀλλὰ καὶ ἐπὶ ψυχῶν, καθ' ὅσον καὶ αὗται χρόνου μετέχουσι· πᾶσα γὰρ μεταβατικὴ κίνησις συνεζευγμένον ἔχει τὸν χρόνον. ὁ γάρ τοι Πλάτων πρὸ τῆς ψυχῆς τοὺς νοῦς τοὺς ἐγκοσμίους καὶ τοὺς ἀσχέτους καὶ τὸν θεῖον διάκοσμον τίθησιν.

52. Τίς ἡ Πλατωνικὴ ψυχογονία. [36]

Τῆς ψυχῆς ἄλλη μὲν ἡ οὐσία, ἄλλη δὲ ἡ δύναμις, ἄλλη δὲ ἡ ἐνέργεια· τῆς οὖν ψυχογονίας τρία πρῶτα ταῦτα κεφάλαια. καὶ ἄλλη μὲν αὐτὴ ἡ ὕπαρξις, ἄλλη δὲ ἡ ἁρμονία, ἄλλο δὲ τὸ εἶδος τὸ ἐκ τούτων ἀποτελούμενον. καὶ γὰρ τοῦ πυρὸς ἄλλη μὲν ἡ οὐσία καθ' ἥν ἐστιν, ἄλλη δὲ ἡ δύναμις, ἄλλη δὲ ἡ ἐνέργεια καθ' ἣν τὰ μὲν ξηραίνει, τὰ δὲ θερμαίνει. καὶ ἡ μὲν ὕπαρξις τὸ εἶναι αὐτῇ ἀφορίζει, ἡ δὲ ἁρμονία τὸ οὐσιῶδες αὐτῆς πλῆθος ἁρμόζει· εἶδος δέ ἐστι τὸ ἐκ τούτων τῶν δυοῖν ἀποτελούμενον. πρώτη μὲν οὖν αὐτῆς ἡ ὕπαρξις, δευτέρα δὲ ἡ ἁρμονία, τρίτη ἡ ἰδέα, τετάρτη ἡ δύναμις, πέμπτη ἡ ἐνέργεια, ἕκτον δὲ καὶ τελευταῖον τὸ ἐκ τούτων εἶδος.

53. Διατί ἡ ψυχὴ μέση τῶν μεριστῶν καὶ τῶν ἀμερίστων λέγεται. [37]

Τῶν μὲν νοητῶν ἰδιώματα ταῦτα, τὸ ὄντως ὄν, τὸ αἰώνιον, τὸ τέλειον, καὶ ἕτερα τοιουτότροπα· τῶν δὲ αἰσθητῶν ἕτερα ἄττα τὰ ἰδιώματα, τὸ ἔγχρονον κατὰ τὴν οὐσίαν, τὸ μεριστόν, τὸ ἄλλου προσδεές, καὶ

---

51. 3-4: Procl., in Tim. II p. 124, 27-28 Diehl. — 4-6, 9-10: p. 124, 14-17; 21. — 11-14: p. 122, 21-23; 26; 17-20.
52. 2-5: ib. p. 125, 17-19; 21; 24-25; 126, 1-2. — 5-7: p. 125, 13-16. — 7-8: p. 126, 6-8. — 9-11: p. 127, 1-3.
53. 2-6: ib. p. 127, 33-128, 2; 128, 5-8; 15-19. — 10-12: p. 129, 5-6; 14-16; 22-24.

---

51. AFDZ, SH, PB, VR 1 γενητὴν ZS γεννητικὴν PB — 3 ἀεὶ om SHVR — 4 γεγέννηται DZS / ἐπειδὴ δὲ AF — 6 ὑποκειμένων AFD / ἀγέννητον (A)F — 7 ἀγένητον ADV / γενητόν AV — 9 γινομένην VR / δυναμένην ZBVR -η P — 10 ἐπινἀοὐμενου F ἐπινοουμένου A ἐπινοουμένην SH[B]VR / αὐτῷ AF[ZP] — 11 γέννησις FZ — 14 τὸν: τὸ SR
52. AFDZN, S, PB, VR 3 πρῶτα: πρόσωπα PBVR / ταῦτα πρῶτα DS — 3-4 αὐτῇ ἡ S ἡ αὐτὴ AF ἡ αὐτῆς D — 5 ἡ om S — 6 τὰ: τὸ AFD(bis) — 7 αὐτὴν N αὐτῆς D / ἀφορίζεται SVR — 8 δυεῖν DZ δύο S — 9 ἡ[1] om VR / δὲ om SVR — 10 τρίτη δὲ DNB / ἕκτη AFZ — 11 τελευταία AF
53. AFDZN, S, PB, VR 1 τῶν ἀμερίστων καὶ τῶν μεριστῶν N / τῶν[2] om VR — 5 μετὰ PBVR — 7 ἀλλ'-ὄν[3] om PBVR — 10 ἀκροτάτων A[F]D[Z] — 10-11 καὶ εἰ μὲν: εἰ μὲν οὖν N

ὅσα τοιαῦτα. μέσα δὲ τούτων ἐστὶ τὸ οὐκ ὄντως ὄν, τὸ κατ' οὐσίαν μὲν αἰώνιον, κατὰ δὲ τὰς ἐνεργείας ἐν χρόνῳ, καὶ τὰ τούτοις ἀκόλουθα. ἡ οὖν ψυχὴ οὔτε ὄντως ὄν ἐστιν οὔτε ὄντως μὴ ὄν, ἀλλ' οὐκ ὄντως ὄν. διὰ ταῦτα μέσην τὴν ψυχὴν φαμὲν τῶν τε αἰωνίων καὶ τῶν αἰσθητῶν, οὔτε καθαρῶς αἰωνίαν οὖσαν οὔτε μὴν ἐναργῶς αἰσθητήν, ἀλλ' ἐξ ἀμφοτέρων μικτὴν καὶ οἷον ἐκ τῶν ἀκροτήτων κεραννυμένην. καὶ εἰ μὲν ἦν ὄντως ὄν, ἦν ἂν ἀμέριστος, εἰ δὲ ὄντως μὴ ὄν, ἦν ἂν μεριστή· ἐπεὶ δὲ μὴ ὄντως ὄν ἐστι, μέση ἐστὶν ἀμερίστου καὶ μεριστοῦ.

54. Ποίαν ψυχὴν ὁ Πλάτων ἐν Τιμαίῳ γεννᾷ. [38]

Τὴν τοῦ παντὸς ψυχὴν ὁ Πλάτων κατὰ τὸν φιλόσοφον Πρόκλον ἐν τῇ τοῦ Τιμαίου βίβλῳ γεννᾷ· αὕτη γὰρ καὶ τὸ ἀμέριστον ἔχει καὶ τὸ μεριστόν, καὶ μέση ἐστὶ τοῦ τε ἐγκοσμίου νοῦ καὶ τῆς περὶ τοῖς σώμασι μεριστῆς οὐσίας. ὥσπερ γὰρ ἡμεῖς οἱ τῷ ἀποστολικῷ λόγῳ ἑπόμενοι ἀρχάς τινὰς καὶ δυνάμεις καὶ κυριότητας καὶ ἄλλάττα τοιαῦτα ἢ μείζονα ἢ ἐλάττονα μέσον ἡμῶν καὶ θεοῦ τιθέαμεν, οὕτω δὴ καὶ τῶν Ἑλλήνων οἱ δῆθεν σοφώτεροι ἑνάδα τινὰ ἐξῃρημένην ἐδογμάτισαν, καὶ μετὰ ταῦτα ὄντα καὶ ζῶντα καὶ νοοῦντα τινά, εἶτα ὑπερκοσμίους νοῦς καὶ αὖθις ἐγκοσμίους, καὶ μετὰ τούτους τὴν ὅλην ψυχήν, καὶ μετ' αὐτὴν τὴν τοῦ παντός, καὶ τέλος τὰς μερικάς· καὶ τὸν ψυχικὸν ἐν ταύτῃ συμπληροῦσι διάκοσμον.

55. Τίς ἡ τῆς ψυχῆς δύναμις. [XVI]

Οὐκ ἔστιν ἡ τῆς ψυχῆς δύναμις ἀτελὴς ὕπαρξις, ἀλλὰ τελεία καὶ πρωτουργὸς καὶ γεννητικὴ τῶν ἐνεργειῶν γόνιμός τε καὶ πλήρης καὶ καθ' ἑαυτὴν ὑπάρχουσα. καὶ ἄλλαι μὲν αἱ τοῦ ἀνθρώπου δυνάμεις — φημὶ δὴ τοῦ συγκειμένου ἐκ ψυχῆς καὶ σώματος — ἄλλαι δὲ αἱ τῆς ψυχῆς αὐτῆς· καὶ ἄλλως μὲν εἰς ἑαυτὴν ἐνεργεῖ χωρίς τε οὖσα καὶ μετὰ τοῦ σώματος ὑφεστῶσα, ἄλλως δὲ εἰς τὸ μετέχον δίδωσιν ἑαυτὴν κατὰ δευτέραν ζωῆς διαφοράν. τεκμήρια δὲ τῶν δυνάμεων ἄλλα μὲν πρὸ τοῦ εἰς τὸν κόσμον εἰσελθεῖν τὴν ψυχήν, ἕτερα δὲ ὅσα αἱ σφαῖραι τοῦ οὐρανοῦ αὐτῇ διδόασι, καὶ ἄλλα πάλιν ὅσα ἡ φύσις· καθ' ἑκάστην γὰρ λῆξιν τῶν τοῦ παντὸς μοιρῶν ἡ ψυχὴ γινομένη τὰς ἑκάστῃ λήξει προσηκούσας δυνάμεις ἀλλάττεται.

---

54. 2-3 : ib. p. 143, 23-24. — 3-4 : p. 144, 22-24. — 5-6 : Ephes. 1[21].

---

54. AFDZ, S, PB, VR 3 καὶ αὕτη AFD — 4 τὸ σῶμα FD σῶμα A — 5 ἐποχούμενοι S — 6 τινάς: καὶ ἐξουσίας add PB — 6 ἄλλάττα AFS[1](Z): ἄλλα Ω — 8 σοφοὶ S — 10-11 μετὰ ταύτην VR

55. AFDN, S, PB, VR 3 παντουργὸς AFD / τῆς ἐνεργείας N / καὶ[3] om NVR — 5 δή: δὲ FNS / συγκειμένου om PB — 7 τοῦ om S / αὐτὴν AFD — 8 δευτέρας N — 10 αὐτῇ om PB / διαδιδόασι S — 11 παντὸς: παρόντος N / γενομένη N

56. Πόσαι αἱ τῆς ψυχῆς δυνάμεις καὶ τίνες. [39]

Τῆς ψυχῆς ἡ μὲν ἀντιληπτική τις ἐστὶ δύναμις, καθ' ἣν τῶν ὄντων ἀντιλαμβάνεται· ἡ δὲ παθητική, καθ' ἣν διατίθεται οἰκείως καὶ ἀλλοτρίως· ἡ δὲ πρακτική, καθ' ἣν πρὸς τὰς πράξεις ἑκουσίως ὁρμᾷ. καὶ τῶν δυνάμεων τούτων ἄλλαι μὲν ἀπόλυτοι εἰσὶ καὶ μόνης τῆς ψυχῆς, ἄλλαι δὲ τοῖς λεπτοῖς καὶ αὐγοειδέσιν ἐποχοῦνται σώμασι, τινὲς δὲ πνεύματι ἐνύλῳ συνυφεστήκασιν, αἱ δὲ τελευταῖαι εἰς τὸ ὀστρεῶδες σῶμα ἀποτελευτῶσιν. ἡ δὲ φανταστικὴ δύναμις πρὸς πάσας τὰς δυνάμεις τῆς ψυχῆς παραπέφυκε καὶ οἷον ἐκμάττεται ταύτας, καὶ ταῖς μὲν κρείττοσι τὰς ὑποδεεστέρας ἀποτυποῖ, ταῖς δὲ ὑποδεεστέραις τὰς κρείττονας. ἀποτυπουμένη γὰρ τὰς νοερὰς δυνάμεις τῇ διανοίᾳ ταύτας ἐπισφραγίζεται, καὶ αὖθις ἀποματτομένη τὰ διανοήματα τῷ νῷ ταῦτα ἐγκατατίθεται.

57. Τί ἐστι φύσις. [40]

Φύσις ἐστὶ δύναμις ὀφθαλμοῖς μὲν ἀθέατος, νῷ δὲ θεωρητή, τοῖς σώμασιν ἐγκατεσπαρμένη παρὰ θεοῦ, ἀρχὴ κινήσεως καὶ ἠρεμίας. αὕτη γάρ ἐστιν ἡ κινοῦσα τὰ φυσικὰ σώματα καὶ αὖθις ἠρεμεῖν ποιοῦσα. πάντα γὰρ τὰ σώματα, οἷον τὰ στοιχεῖα καὶ τὰ ἐκ τούτων συγκείμενα, εἰ καὶ ὑπὸ θεοῦ καὶ τὴν κίνησιν καὶ τὴν ἡσυχίαν ἔχει, ἀλλὰ προσεχῶς ὑπὸ φύσεως κινεῖται. πολλὰ μὲν γὰρ εἰσὶ τὰ κινοῦντα τὰ σώματα, πρῶτον ὁ θεός, εἶτα ὁ νοῦς, εἶτα ἡ ψυχή· ἀλλὰ τελευταῖον ἡ φύσις, ἥτις οἷον ὄργανόν ἐστι τοῦ θεοῦ. τὸν μὲν γὰρ ἄνθρωπον καὶ τὰ ἄλογα ζῷα κινεῖ καὶ ἡ ψυχὴ καὶ ἡ φύσις, τὰ δὲ σώματα καὶ τὰ ἁπλᾶ καὶ τὰ σύνθετα μόνη ἡ φύσις κινεῖ καὶ πάλιν ἵστησι τῆς κινήσεως.

58. Τίς ἡ διαίρεσις τῶν κοινῶν ἐνεργειῶν τῆς ψυχῆς πρὸς τὸ σῶμα. [41]

Τῶν ἐνεργειῶν αἱ μὲν ἄρχονται ἀπὸ τῆς ψυχῆς, ὥσπερ αἱ κρείττους καὶ αἱ προέχουσαι, αἱ δὲ ἀπὸ τοῦ σώματος ἀνεγείρονται, ὅταν διψῇ μὲν ἢ πεινῇ ἢ ῥιγοῖ ἢ ἄλλού του δέηται, ἡ ψυχὴ δὲ τὸ ἐντεῦθεν πορίζει τὰ ἐλλείποντα τῷ σώματι. πάλιν τοίνυν τὰ μὲν τοῦ σώματος ἐστὶ παθήματα διὰ τὴν ψυχήν, ὥσπερ τὸ ἐρυθριᾶν διότι ἡ ψυχὴ αἰσχρόν τι ἔκρινε· τὰ δὲ τῆς ψυχῆς διὰ τὸ σῶμα, ὥσπερ αἱ ἡδοναὶ καὶ αἱ λῦπαι διὰ τὴν τοῦ σώματος γένεσιν περὶ τὴν ψυχὴν συμβαίνουσι· τὰ δὲ ἐπικοινωνεῖ ἐξ ἴσου, ὥσπερ δὴ τὸ φέρεσθαι κατὰ τόπον. τὸ μὲν γὰρ διαμείβειν τόπον ἴδιόν ἐστι σώματος, τὸ δὲ κινεῖν κατὰ τὴν φορὰν ψυχῆς ὑπάρχει ἐνέργεια.

57. 1: Plut., plac. I 1. — 3: ib. p. 274, 25 Diels.

56. AFDN, S, PB, VR 6 τοῖς λεπτοῖς: τῆς ψυχῆς [P]BVR — 7 συνεφεστήκασιν DSV — 8-9 τῆς ψυχῆς τὰς δυνάμεις N — 9 ταῦτα N — 10 τῇ δὲ ὑποδεεστέρα AFD — 12 ταῦτα om SR

57. ADZN, SWH, PBC, VR 1 περὶ φύσεως SWH — 3 κινήσεως: νοήσεως VR — 6 καὶ² om N / ἔχει καὶ τὴν ἡσυχίαν N — 7 τὰ² om BR — 8 ἀλλὰ: τὸ add DZR — 9 ἥτις om [P]BCVR / γὰρ om AD — 10 ἄλογα om NSWH

58. AFDN, SWH, PBC, VR 1 κοινῶν om AF — 2 τῆς om VR — 4 πεινᾷ SW πεινοῖ P / ῥιγᾷ DSWB / ἄλλού του scripsi: τινὸς ἄλλού του AF τινὸς ἄλλου τοῦ PB τινὸς ἄλλ' οὗτο D τις ἄλλου N ἄλλου τινὸς SW τινὸς ἄλλου τοιούτου VR (an leg τινὸς ἄλλου τοῦτο ?) / δέεται AF δέοιτο D / πορίζοι SWBVR — 5 λείποντα AF / τῷ om SW — 8-9 ἐπεὶ κοινωνεῖ VR

59. Πότε ἡ ψυχὴ τῷ κυουμένῳ ἑνοῦται σώματι. [42]

Ὁ μὲν τὴν θεολογίαν μέγας Γρηγόριος ἀσαφής ἐστι περὶ τοῦτο τὸ μέρος, καὶ οὐκ ἂν αὐτὸν ῥαδίως εὕροις ταύτῃ ἢ ἐκείνῃ προσκείμενον τῶν δοξῶν. ὁ δὲ θεῖος Γρηγόριος ὁ Νυσσαεὺς καὶ ὁ πολὺς τὴν ὁμολογίαν καὶ τὴν φιλοσοφίαν Μάξιμος οὔτε πρεσβυτέραν τὴν ψυχὴν τοῦ σώματος οὔτε μεταγενεστέραν τιθέασιν, ἀλλ' ὁμοῦ τῇ καταβολῇ τοῦ σπέρματος ἐπιτηδείου πρὸς ὑποδοχὴν ψυχῆς τυγχάνοντος ταύτην ὑφιστάνουσι. τῶν δὲ Ἑλλήνων οἱ πρόκριτοι μετὰ τὴν τελείωσιν τοῦ φυσικοῦ ὀργάνου καὶ τὴν ἀποκύησιν τούτου ἐνσπείρουσι ταύτην τῷ σώματι· πλὴν ὅτε μὲν ἔσωθεν ἢ κατερριζωμένον τὸ ἔμβρυον τὴν φυσικὴν ψυχὴν τούτῳ διδόασιν, ἐξελθόντι δὲ τὴν λογικήν, καὶ προϊόντι τὴν νοεράν.

60. Πῶς ἑνοῦται τῷ σώματι ἡ ψυχή. [43]

Εἰσκρίνεται τῷ σώματι ἡ ψυχὴ ὥσπερ ἡ ἀνατολὴ τοῦ ἡλίου πάντα ἀθρόως ἐμπίπλησι τοῦ φωτός. καὶ γὰρ καὶ αὐτὴ ἀθρόως ὅλον ἐξάπτει τὸ σῶμα εἰς τὴν ζωὴν καὶ ζωοποιεῖ τοῦτο ἐπιτηδείως ἔχον πρὸς τὴν ἕνωσιν ταύτης. ὥσπερ οὖν αἱ νευραὶ αἱ συνηρμοσμέναι καὶ εἰ πόρρω τύχοιεν οὖσαι συγκινοῦνται, καὶ ὁ καλούμενος νάφθας δέχεται τοῦ πυρὸς τὴν δύναμιν τοῦ μεταξὺ ἀέρος μὴ πυρουμένου, οὕτω δὴ καὶ τὸ σῶμα ἀθρόως ὅλον ἐλλάμπεται ὑπὸ τῆς ψυχῆς· καὶ οὐ δεῖ τῆς ἀμερίστου ζωῆς καὶ δυνάμεως διῃρημένας ἐπινοεῖν τὰς ἐλλάμψεις ἢ τὰς μετοχάς, ἀπεικαστέον δὲ αὐτῇ τῇ τοῦ ὄντος μετοχῇ εἰς τὸ γινόμενον. ὥσπερ γὰρ τὸ ὂν ἀχρόνως τῷ γινομένῳ πάρεστιν, οὕτως καὶ αὐτὴ ἀχρόνως τῷ σώματι.

61. Περὶ τῆς ἀλόγου ψυχῆς. [44]

Ἐν τέτταρσι τούτοις τὴν ἄλογον ψυχὴν οἱ φιλοσοφήσαντες παρ' Ἕλλησιν ἀφορίζουσιν· ἐν τῇ ὀρεκτικῇ, καθ' ἣν ἡδονῆς καὶ λύπης μετέχομεν· ἐν τῇ δοξαστικῇ, ἥτις τοὺς μέσους λόγους καὶ μεταξὺ τῶν αἰσθητῶν εἰδῶν καὶ τῶν ἀΰλων καὶ καθαρῶν λόγων ἀφώρισται· ἐν τῇ αἰσθητικῇ, ἥτις πρὸς τὰ ἐκτὸς εἴδη ὡμοίωται καὶ προαισθάνεται τὰ ἔξωθεν σωτήρια καὶ ὀλέθρια· ἐν τῇ φυσικῇ, ἥτις κυρίως ἐστὶ γενε-

---

59. 4: cf. Greg. Nyss., quid sit ad imag. Dei, PGr. 44, 1332 D. — 4-8: Maxim. Conf., ambig. lib., PGr. 91, 1321 D-1325 C; epp., PGr. 91, 488 D-489 A.
60. 2-5: Ps.-Galen., ad Gaurum (ed. Kalbfleisch, Berol. 1895) 11³. — 5-6: 11⁴. — 6-8: 11².

---

59. AFDN, SWH, PBC, VR 1 om S(W)H / Πότε: πῶς PBC — 2 τὴν θεολογίαν: θεολόγος SW — 3 ῥαδίως αὐτὸν PBCVR — 4 δὲ: μέγας καὶ add SH — 10 φυτικὴν AVR — 11 ψυχὴν: ζωὴν AFD / καὶ προϊόντι: προϊόντι δὲ N
60. AFDN, SWH, PBC, VR 3 καὶ² om NH / αὐτὴ N — 3-4 τὸ σῶμα ἐξάπτει PB — 5 πόρρωθεν SW — 6 νάφθας AF: φθὰς Ω — 8 ὅλον om PBCVR — 9 ἐννοεῖν N — 10 αὐτοῦ NC αὐτὴν f / τῇ om N / μετοχὴν N — 11 αὐτῷ AF αὔτη N / ἀχρόνως: πάρεστι add VR
61. AFDN, SWH, PB, VR 2 τέτρασι SW τέταρσι PB τέσσαρσι NR — 2-3 παρ' ἕλλησιν οἱ φιλοσοφήσαντες τὴν ἄλογον ψυχὴν VR — 3 ἀφορίζονται SW — 4 ἥτις: ἣ SW / τοὺς: ἐπὶ τοὺς F πρὸς τοὺς D — 6 ἤδη SW — 7 ἐστὶ κυρίως PBVR

σιουργὸς καὶ συμπλέκεται προσεχῶς τοῖς σώμασι γεννᾷ τὲ αὐτὰ καὶ αὔξει καὶ διοικεῖ καὶ κατευθύνει. ἐκ τούτων δὴ τῶν τεσσάρων τὴν ἄλογον ψυχὴν ἔνιοι τῶν φιλοσόφων οὐσιώσαντες ἐγκεντρίζουσιν οἷον τῇ λογικῇ ψυχῇ καὶ τῷ σώματι συνεισάγουσι· καὶ τὴν μὲν λογικὴν ταῖς ἄνω θεωρίαις συνάγουσι, τὴν δὲ ἄλογον οἰκονομεῖν τὰ τοῦ σώματος ἐπιτρέπουσι.

62. Τίς ἡ βούλησις καὶ τίς ὁ πρακτικὸς λογισμός. [45]

Ἡ βούλησις περὶ τὸ λογιστικὸν μόριον ἐστὶ τῆς ψυχῆς. κινεῖ μὲν γὰρ τὴν ὄρεξιν τὸ ἐφετόν· ἐπεὶ δὲ τοῦτο οὐκ ἄνευ λογισμοῦ προαιρούμεθα, ἡ κατ' αὐτὸ ἐνέργεια βουλευτικὴ ὁρμὴ ὠνομάσθη, ἑτέρα οὖσα τοῦ λογισμοῦ. πρακτικὸς δέ ἐστι λογισμὸς ἡ μετὰ τὴν ὄρεξιν τοῦ ἐφετοῦ μετὰ λογισμοῦ πρᾶξις τὲ καὶ ἐνέργεια. τοῦτο δέ σοι ἰστέον, ὅτι ψυχῆς ἀπολυθείσης σώματος καὶ ἔτι παρούσης ἐν τῷ σώματι οὐχ' ὁ αὐτὸς ἐστὶ λογισμός. ἐπεὶ δὲ πᾶσι τοῖς κρείττοσιν ἀφομοιοῦται ἡ ψυχή, θεῷ, ἀρχαγγέλοις, ἀγγέλοις, καὶ ταῖς λοιπαῖς δυνάμεσι, διατοῦτο καὶ τὰ ἔργα αὐτῆς τὰ μὲν θεῖα, τὰ δὲ ἀρχαγγελικά, τὰ δὲ ἀγγελικά, τὰ δὲ ψυχικά, τὰ δὲ ἀνθρώπινα, τὰ δὲ ἐναντία, ἵνα μὴ τὰ ὀνόματα λέγω· μεταβάλλει γὰρ τὰς ἐνεργείας πρὸς ἃ λαμβάνει καὶ τὴν ὁμοίωσιν.

63. Περὶ προαιρέσεως καὶ προσοχῆς. [46]

Μέσαι δυνάμεις εἰσὶ τῆς ψυχῆς προσοχὴ καὶ προαίρεσις. ἀλλ' ἡ μὲν προαίρεσις ἡγεῖται τῶν πράξεων, ἔχει δὲ καὶ λόγον ἐν ᾧ κρίνει τὰ καλὰ καὶ ὄρεξιν τὴν ἐφιεμένην τῶν οἰκείων ἀγαθῶν καὶ τὴν ἀναπληροῦσαν ἀεὶ τὰ ἐλλείποντα. ἀπ' ἀμφοτέρων οὖν, τοῦ λόγου καὶ τῆς ὀρέξεως, συνίσταται ἡ προαίρεσις. προσοχὴ δὲ ἐστὶ καθ' ἣν προσέχομεν τοῖς ἔργοις οἷς πράττομεν καὶ τοῖς λόγοις οἷς λέγομεν· αὕτη γὰρ ποτὲ μὲν τὰ τῆς ψυχῆς ἤθη ἀνασκοπεῖται τίνα τέ ἐστι καὶ πῶς ἔχει πρὸς ἄλληλα, ποτὲ δὲ αὖ τὸ ζῷον θεωρεῖ τί πράττει καὶ πῇ παραβαίνει καὶ τί ἐλλείπει. μέσα δέ εἰσι καὶ τὰ τῶν μαθημάτων ἀσκήματα καὶ τὰ τῶν καθαρτικῶν ἀρετῶν ἐπιτηδεύματα. μέσα δὲ λέγονται ὡς μεταξὺ κείμενα τῶν τε νοερῶν λόγων καὶ τῶν δοξαστικῶν.

---

63. 2: cf. Procl., exc. Vatic., ed. Pitra, Analecta V, p. 195, 5-6. — 9-10: carm. aur. Pythag. 42.

---

61. 9 δὴ: δὲ SW — 11 τῷ om PB — 11 καὶ²-12 συνάγουσι om PBVR — 12 τοῦ σώματος AFD: σώματα Ω

62. AFDN, SWH, PB, VR 2 λογικὸν ASWH — 3 τούτου VR — 4 αὐτὸν AF αὐτῶν D / βουλητικὴ N / ὁρμή: καὶ ἐνέργεια add A(F)D — 6 σοι: εὖ N / ἰστέον scripsi (cf § 167⁶): ἴστω ADNS ἔστω Ω — 8 λογικός VR / ἐπεὶ δὲ: ἐπειδὴ SWH / πᾶσι om SWH — 10 αὐτοῦ VR — 10 τά²-11 ψυχικά om VR — 10 τὰ δὲ ἀγγελικά om SHPB — 12 μεταβάλλει: μεταλαμβάνει PBVR

63. AFDN, SWH, PBC, VR 3 ἐν om AFD / ᾧ: τῷ N / κρίνειν N — 4 οἰκείων: καὶ add NPBVR — 8 γὰρ om N / ἤθη: εἴδη N / ἐστι: εἰσι NSW — 9 ἔχουσι N / πῇ: τί AFDS²PB — 10 μέσα-11 ἐπιτηδεύματα om SWH

64. Πότερον ἡ ψυχὴ λύεται ἀπὸ τοῦ σώματος ἢ τὸ σῶμα ἀπὸ τῆς ψυχῆς. [47]

Ἐπὶ μὲν τοῦ φυσικοῦ θανάτου τὸ σῶμα λύεται ἀπο τῆς ψυχῆς, ἐπὶ δὲ τοῦ νοητοῦ ἡ ψυχὴ ἀπὸ τοῦ σώματος. ἡ μὲν γὰρ φύσις ἔδησε τὸ σῶμα ἐν τῇ ψυχῇ· εἰ μὴ γὰρ κατείχετο τὸ σῶμα ὑπὸ τῆς ψυχῆς διελέλυτο ἄν, ὅθεν ἐν τῷ θανάτῳ λύεται τὸ σῶμα ἀπὸ τῆς ψυχῆς. ἡ δὲ ψυχὴ ἔδησεν ἑαυτὴν τῷ σώματι διὰ τῶν παθῶν· ἡ οὖν ψυχὴ ἑαυτὴν λύει ἀπὸ τοῦ σώματος. καὶ ἡ μὲν ψυχὴ μέση ἐστὶ τῆς ἀμερίστου καὶ τῆς μεριστῆς οὐσίας, οὔτε γὰρ καθαρῶς ἐστιν ἀμέριστος ὡς ὁ νοῦς οὔτε πάντη μεριστὴ ὡς τὰ σώματα· ὁ δὲ νοῦς πάντη ἀμερής, τὸ δὲ σῶμα πάντη μεριστόν, καὶ αἱ ποιότητες καὶ τὰ ἔνυλα εἴδη περὶ τὰ σώματα μεριστά. καὶ πάντα μὲν ἐν πᾶσιν· ἀλλ' ὁ μὲν νοῦς νοερῶς ἔχει πάντα, ἡ δὲ ψυχὴ λογικῶς, τὸ δὲ φυτὸν σπερματικῶς, τὸ δὲ σῶμα τὰ εἴδωλα ἔχει τῶν ὄντων, ὁ δὲ θεὸς ἀνεννοήτως καὶ ὑπερουσίως.

65. Πῶς συνέχεται ἡ ψυχὴ ἐν τῷ σώματι. [XVII]

Ἡ ψυχὴ συνέχεται ἐν τῷ σώματι οὐχ' ὥσπερ θηρίον ἐν ζωγρείῳ, οὐδ' ὡς ὑγρὸν ἐν ἀσκῷ· ἀλλ' αὐτὴ ἡ ψυχὴ ὑφίστησι δυνάμεις ῥεπούσας ἀφ' ἑαυτῆς εἰς τὸ σῶμα, δι' ὧν συμπλέκεται τῷ σώματι. αὕτη δὲ ἡ δόξα ἐμοὶ οὐκ ἀρέσκει, ἔστι γὰρ καὶ Ἑλληνικὴ καὶ ἀδιανόητος, κἂν εἰ μυρίοι Πλάτωνες καὶ Ἀριστοτέλεις τοῦτο πεφλυαρήκασι. τὸ δ' οὖν λεγόμενον παρ' αὐτῶν τοιοῦτον ἐστί. βασιλίδι ἀπεικάζουσι τὴν ψυχὴν καὶ τὸ σῶμα κλίνῃ βασιλικῇ· οὐκ εὐθὺς οὖν τιθέασι ταύτην ἐν τῷ σώματι, ἀλλ' ὑποτιθέασιν αὐτῇ τάπητας ἁλουργοὺς καὶ πορφυρόβαπτα εἵματα, καὶ ἐπὶ τούτοις αὐτὴν ἀνακλίνουσι· τὰ δὲ εἰσὶν αἱ φανταστικαὶ δυνάμεις, αἱ δοξαστικαί, ἡ ἁρμονία τοῦ σώματος, καὶ ἕτερα ἄττα, ἐφ' οἷς προκαταβληθεῖσιν ἐν τῷ σώματι τὴν ψυχὴν ἀναπαύουσι.

66. Περὶ ἀρετῶν. [48]

Τρεῖς τάξεις εἰσὶ τῶν ἀρετῶν. αἱ μὲν γὰρ αὐτῶν κοσμοῦσι τὸν ἄνθρωπον ἤτοι τὴν μετὰ τοῦ σώματος ψυχήν· αἱ δὲ καθαίρουσι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος καὶ ἐπιστρέφουσι πρὸς ἑαυτήν, αἵτινες καὶ καθαρτικαὶ καλοῦνται· αἱ δὲ τελείως καθαρθεῖσαν τὴν ψυχὴν ἀπασχολοῦσιν εἰς τὴν θεωρίαν τῶν νοητῶν, αἵτινες θεωρητικαὶ καὶ νοεραὶ ὀνομά-

---

64. 3-4 : Porph., sent. 9. — 4-8 : 8. — 8-11: 5. — 12-14 : 10.
65. 2-4 : ib. 28, p. 12, 10-15 Mommert. — 8-10 : cf. Psell., PGr. 122, 1153 A 2-3.
66. 2-7: cf. Porph., sent. 32^{2-4}.

---

64. AFDN, SWH, PB, VR 1 πότε SW / λύεται om NSWH — 2 ψυχῆς: χωρίζεται add SWH — 5 ἐν om AFD / γὰρ μὴ N / μὴ: μὲν PBVR / ὑπὸ τῆς ψυχῆς: ἐν τῇ ψυχῇ N — 5-6 διελύετο AFDSB διέλυτ' N οὐ διελέλυτο V^1R — 7 λύει ἑαυτὴν PB — 9 καθὼς SH — 10 σῶμα δὲ VR — 11 ποσότητες SW / τὸ σῶμα VR — 12 πάντα[1]: πάντας SW — 13 τὰ δὲ σώματα AFD

65. AFDN, SWH, PB, VR 1 ἐν om AFB — 3 οὐχ VR — 4 ἀφ': ἐφ' AF — 5 γάρ: δὲ PB / καὶ[1] om NWPBV — 6 ἀριστοτέλοι DPV / δ' οὖν: γοῦν PBVR — 8 οὐκ om PBVR — 8 ταύτην-9 ὑποτιθέασιν om PBVR — 9 ἁλουργοὺς: ἀργυροῦς PBVR — 10 αὐτήν: αὐτοῖς VR — 12 ἐν om FDN

ζονται. καὶ ἄλλη μὲν ἀρετὴ θεοῦ, ἄλλη δὲ ἀγγέλου, ἄλλη δὲ ἀνθρώπου. ὡς γὰρ αἱ οὐσίαι αὐτῶν διάφοροι, οὕτω καὶ αἱ ἀρεταί. καὶ ψυχὴ μὲν κυρίως ἡ λογικὴ ἐστί τε καὶ ὀνομάζεται· τὸ δὲ ὑπὲρ τὴν ψυχὴν νοῦς· τὸ δὲ μετὰ τὴν λογικὴν ψυχὴν ἄλογος ψυχὴ καὶ εἴδωλον ψυχῆς. πάσαις δὲ ταῖς τῶν ἀγγέλων τάξεσιν ἡ ἀρετὴ συμπρόεισιν, ἄνωθεν ἀπὸ τῶν σεραφὶμ ἀρχομένη. ὁ γὰρ θεὸς ἐπέκεινα ἀρετῆς καὶ παντὸς ἀγαθοῦ καὶ πάσης τελειότητος.

67. Ἔτι περὶ ἀρετῶν. [49]

Ἓξ εἰσὶν οἱ τῶν ἀρετῶν βαθμοί. ἔστι γὰρ ἡ μέν τις φυσικὴ ἀρετή, ἥτις καὶ ἐν θηρίοις εὑρίσκεται· ἡ δὲ ἠθική, ἣν ἔνιοι καὶ τῶν ἀπαιδεύτων ἔχουσιν· ἡ δὲ πολιτική, ἡ μετὰ λόγου καὶ φρονήσεως κατορθουμένη· ἡ δὲ καθαρτική, ἡ καθαίρουσα τὸν ἄνθρωπον ἀπὸ παντὸς πάθους· ἡ δὲ θεωρητική, ἡ θεωροῦσα τὸν νοῦν· ἡ δὲ θεουργική, ἡ τὸ θειότατον ἡμῶν τῆς ψυχῆς ἀνεγείρουσα καὶ αὐτῷ ἐνίζουσα τῷ θεῷ καὶ τὴν θείαν ἐνεργοῦσα μανίαν. εἰσὶ δὲ καὶ ἐπέκεινα τούτων ἕτεραι ἀρεταί, αἱ μὲν οἱονεὶ παραδείγματα τῶν λοιπῶν ἀρετῶν, αἱ δὲ ὑπὲρ πᾶσαν οὐσίαν· αἵτινες οὐ συμβεβηκότα εἰσίν, ὥσπερ ἐπισυμβεβήκασιν ἡμῖν αἱ λοιπαὶ ἀρεταί, ἀλλ' οὐσίαι νοεραὶ καὶ ὑπερούσιοι.

68. Ἔτι περὶ ἀρετῶν. [50]

Τρεῖς εἰσὶν ἀρεταὶ αἱ τελειοῦσαι τὸν ἄνθρωπον· ὁσιότης, ἡ πρὸς τὸν θεὸν ἐνεργεῖν σπεύδουσα, οἷον ἀφοσιοῦσα τὴν τοῦ ἀνθρώπου ζωὴν τῷ θεῷ· δεύτερον δικαιοσύνη, ἡ τὴν πρόνοιαν τῶν καταδεεστέρων ποιοῦσα· φρόνησις, ἡ πρὸς ἡμᾶς αὐτοὺς τὴν ζωὴν νοερὰν ἀπεργάζεσθαι βουλομένη. καὶ γὰρ ἑνούμεθα κατὰ τὴν ὁσιότητα πρὸς τὸ ἓν καὶ τὸν θεόν· προνοούμεθα δὲ τῶν ἐλαττόνων κατὰ τὸ δίκαιον· γνῶσιν δὲ ἄρρητον ἔχομεν κατὰ τὴν φρόνησιν. ἡ μέντοι ἠθικὴ ἀρετὴ ἀπὸ φρονήσεως μὲν πρόεισιν, οὐ μέντοι μετὰ φρονήσεως ἐνεργεῖ, ἀλλὰ τριβῇ χρονίῳ ἐγγίνεται. διήκει δὲ ἡ τῆς ἀρετῆς θειότης διὰ πάντων τῶν ὄντων· ἔστι γὰρ καὶ ὑπερουράνιος ἀρετὴ καὶ οὐράνιος, καὶ ὑπερκόσμιος καὶ ἐγκόσμιος, καὶ νοερὰ καὶ ψυχική, καὶ ἀγγελικὴ καὶ ἀνθρωπική. ἔστι δὲ καὶ πηγὴ ἀρετῶν, ἧς τότε μεταλαμβάνομεν, ὅταν τὴν μεριστὴν ἀφέντες νόησιν τελεωτάτην σύμπασαν ἀρετὴν ἐνεργήσωμεν.

---

67. 2-11: cf. Olymp., in Phaed. p. 45, 16-46, 8 (46, 16-17); p. 113, 14-114, 25 Norvin; Marinus, vita Procli c. 3.
68. 2-6: cf. Pl., Theaet. 176 B. — 12-13: cf. Olymp., in Phaed. p. 116, 18-20; Psell., PGr. 122, 1133 B 2; 1136 A 12-B 11.

---

66. S, PBC, VR 9 τε: τέως S — 12 θεὸς: καὶ add VR
67. S, PBC, VR 1 Ἔτι om PBCR — 2 οἱ om S — 8 καὶ om SPB — 9 τῶν λοιπῶν om S — 10 αἱ om BC / λοιπαὶ om PBC
68. S, PBC, VR 2 εἰσὶν: αἱ add VR — 3 οἷον: ἡ add PBVR — 5 αὐτοὺς ἡμᾶς S — 6 γὰρ om S — 8 ἠθικὴ: θεία S — 13 δὲ om VR

69. Ἔτι περὶ ἀρετῶν. [51]

Ἀριστοτέλης μὲν ὁ φιλόσοφος τέσσαρας γενικὰς ἐξαριθμεῖ ἀρετάς· φρόνησιν, δικαιοσύνην, ἀνδρείαν, καὶ σωφροσύνην. καὶ τὴν μὲν φρόνησιν τάττει ὑπὸ τὴν διάνοιαν, τὰς δὲ λοιπὰς τρεῖς ὑπὸ τὸ παθητικὸν τῆς ψυχῆς· καὶ οὔτε τὴν φρόνησιν ἐν τῷ παθητικῷ μέρει κατατάττει οὔτε τὰς ἑτέρας τρεῖς ἀρετὰς ἐν τῇ διανοίᾳ τίθεται. ὁ δὲ Πλάτων τέσσαρας τάξεις ἀρετῶν ποιεῖται· καὶ τὰς μὲν ὀνομάζει πολιτικάς, ὅσαι κοσμοῦσι τὸν ἐν τῷ βίῳ πολιτευόμενον ἄνθρωπον, τὰς δὲ καθαρτικάς, τὰς δὲ θεωρητικάς, τὰς δὲ μανικάς. μανικὴ δὲ ἀρετὴ λέγεται ἡ θεοφορουμένη καὶ ἐνθουσιῶσα καὶ τὴν ψυχὴν περὶ τὸ θεῖον ἀναβακχεύουσα καὶ οἷον ἐνθεασμοῦ πλήρης καὶ κορυβαντιάσεως γινομένη. ὁ μέντοι θεὸς ἀρετῆς ἐστὶ μείζων, οὐ μόνον τῆς ὡς ἕξεως καὶ τῆς αὐτοφυοῦς, ἀλλὰ καὶ τῆς αὐτοαρετῆς.

70. Ἔτι περὶ ἀρετῶν. [XX]

Τῶν μὲν πολιτικῶν ἀρετῶν ἤτοι τῶν κοσμουσῶν τὸν φαινόμενον ἄνθρωπον τέλος ἐστὶν ἡ μετριοπάθεια· αἵτινες πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον ἐκ τοῦ συναγελασμοῦ καὶ τῆς κοινωνίας πολιτικαὶ ὀνομάζονται· τῶν δὲ καθαρτικῶν ἀρετῶν τέλος ἡ ἀπάθεια· τῶν δὲ θεωρητικῶν ἡ πρὸς θεὸν ὁμοίωσις. καὶ ἄλλως μὲν θεωρεῖται ἡ σωφροσύνη καὶ ἡ φρόνησις καὶ ἡ ἀνδρεία καὶ ἡ δικαιοσύνη ἐν ταῖς πολιτικαῖς ἀρεταῖς, ἄλλως δὲ ἐν ταῖς καθαρτικαῖς, ἄλλως δὲ ἐν ταῖς θεωρητικαῖς· κατὰ γὰρ τὰ μέτρα τῶν ὑποκειμένων πραγμάτων καὶ αἱ δυνάμεις τῶν ἀρετῶν ὀνομάζονται καὶ ὁρίζονται. καὶ ὁ μὲν ἔχων τὰς μείζους ἀρετὰς ἔχει καὶ τὰς ἐλάττους, καὶ πολλάκις ἐνεργήσει καὶ τὰς ὑφειμένας ἀρετὰς ὁ ἔχων τὰς μείζους, ἀλλ' οὐ προηγουμένως, ἀλλὰ κατὰ περίστασιν τῆς γενέσεως. ὁ δὲ ἔχων τὰς ἐλάττους οὐ πάντως ἔχει καὶ τὰς μείζους, εἰ μὴ κατὰ προκοπὴν εἰς αὐτὰς ἀναβαίη.

71. Ἔτι περὶ ἀρετῶν. [52]

Ὅτι οὐκ ἔστι μία καὶ ἡ αὐτὴ κατὰ ἀριθμὸν ἡ πρὸς τὸν θεὸν ὁμοίωσις, ἀλλὰ διάφορος. ὁμοιούμεθα γὰρ αὐτῷ καὶ κατὰ τὰς πολιτικὰς ἀρετάς, ἀλλ' ἀμυδρότερον καὶ σκιοειδέστερον. ὁμοιούμεθα τούτῳ καὶ κατὰ τὰς καθαρτικάς, ἀλλ' ἐκτυπώτερον. ὁμοιούμεθα καὶ κατὰ τὰς θεωρητικάς, ἀλλ' ἔτι λαμπρότερον. ὁμοιούμεθα καὶ κατὰ τὰς θεουργικάς· αὕτη γοῦν ἐστὶν ἡ τελειοτάτη ὁμοίωσις. τὸ μὲν γὰρ καθαίρεσθαι τὰς ψυχὰς καὶ θεωρεῖν τὰ ὄντα οὐ πάνυ τι ὅμοιον τῷ θεῷ, ἐκεῖνος γὰρ ὑπὲρ

---

69. 2-3 : Ar., de virt. et vit. 1, 1249 a 31-b 29.

70. 2-3 : Porph., sent. 32^{2}, p. 17, 7 Mommert ; 32^{3}, p. 18, 9-10 ; 19, 3-5. — 3-5 : p. 17, 19-21. — 5-6 : ib. 32^{3}, p. 19, 6-7. — 6-9 : ib. 32^{2}, p. 17, 21-18, 4 ; 32^{3}, p. 18, 12-19, 3. — 10-15 : ib. 32^{6}, p. 21, 16-22, 2.

71. 2-3 : cf. Plot. I 2^{1}, p. 50, 17-18 Volkmann. — 3-4 : cf. id. I 2^{3}, p. 52, 31-32. — 11-13 : Ierem. 15^{19}.

---

69. S, PB, VR 4 τῆς: μέρος τῆς PB — 6 ἑτέρας om VR / ἀρετὰς om PB — 7 ὅσαι-8 καθαρτικάς om S(B) — 12 οὐ μόνον om S

70. S, PBC, VR 4 πλησίων SPV — 5 τῶν-6 ἀπάθεια S : om Ω — 8 ἄλλως^{2}-9 θεωρητικαῖς om PB — 11 ἔχει om PBC

71. S, PBC, VR 3 καὶ om S — 4 σκιωδέστερον PB — 5 καὶ: δὲ καὶ CVR — 8 τὶ: τοι S

κάθαρσιν καὶ θεωρίαν ἐστί· τὸ δὲ δύνασθαι θεοποιεῖν ἄνθρωπον καὶ τῆς ὕλης ἐξάγειν καὶ τῶν παθῶν ἀπαλλάττειν, ὥστε δύνασθαι καὶ αὐτὸν θεουργεῖν ἕτερον, τοῦτο ἐστὶν ἡ τελειοτάτη ὁμοίωσις. 'ὁ ἐξάγων' γάρ φησιν ὁ θεὸς ἐν εὐαγγελίοις 'ἄξιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται'. ὁρᾷς ὅπως ἐν τῇ θεουργίᾳ τὴν ἀληθεστάτην τέθηκεν ἐξομοίωσιν. ἀλλ' ἡμεῖς ἀγαπῴημεν εἰ καὶ κοσμεῖν ἑαυτοὺς διὰ τῶν πολιτικῶν δυνάμεθα ἀρετῶν.

72. Ἔτι περὶ ἀρετῶν. [53]

Πλάτων ὁ φιλόσοφος πρῶτον μὲν διὰ τῆς πολιτικῆς ἀρετῆς ἀνάγει τὸν ἄνθρωπον εἰς θεόν, ὡς καὶ ταύτης ἐξομοιοῦν δυναμένης τῷ θείῳ κατὰ τὸ δυνατόν· ἀπὸ δὲ ταύτης ἀνάγει διὰ τῆς καθαρτικῆς ζωῆς εἰς τὴν θεωρίαν. ἐπειδὴ γάρ φησιν ὁ θεὸς διττὴν ἔχει τὴν ἐνέργειαν, τὴν μὲν καθ' ἣν ἐν θεωρίᾳ τῶν ὅλων ἐστί, πρὸ πάσης κτίσεως τοὺς λόγους αὐτῶν ἐπιστάμενος, τὴν δὲ καθ' ἣν τῶν χειρόνων ποιεῖται τὴν πρόνοιαν· διὰ ταῦτα καὶ ὁ ἄνθρωπος μιμούμενος τὸν θεὸν ἐν μὲν ταῖς πολιτικαῖς ἀρεταῖς ἐπιστρέφεται πρὸς τὰ τῇδε καὶ κοσμεῖ τοὺς καταδεεστέρους ταῖς πρὸς μετριοπάθειαν φερούσαις ἀρεταῖς, ἐν δὲ τῷ θεωρεῖν ἀναβὰς ὁρᾷ τοὺς λόγους ἁπάντων, τοὺς φυσικούς, τοὺς ψυχικούς, τοὺς νοερούς, τοὺς ὑπερφυεῖς, καὶ γίνεται ὄργανον τοῦ θεοῦ, ὁμοῦ τὲ πρὸς ἐκεῖνον ὁρῶν καὶ τῶν τῇδε ποιούμενος πρόνοιαν. πλὴν ἄλλως ἐνεργεῖ τὰς τοιαύτας ἀρετὰς ἐν σώματι οὖσα ψυχή, ἄλλως δὲ ἀπαλλαγεῖσα τοῦ σώματος.

73. Ἔτι περὶ ἀρετῶν. [54]

Ἡ μὲν οὐσία καὶ αὐτὸ τὸ εἶναι ἀπὸ τοῦ νοῦ πᾶσιν ἐφήκει καὶ τοῦ ὄντως ὄντος, ἡ δὲ διὰ τῶν ἀρετῶν τελειότης ἀπὸ τοῦ θεοῦ παραγίνεται. ὥσπερ γὰρ ἐκ τοῦ πρώτως ὄντος τὸ ὄν, οὕτως ἐκ τοῦ πρώτως ἀγαθοῦ τὸ ἀγαθόν. μᾶλλον δὲ καὶ ἡ οὐσία καὶ ἡ ἀρετὴ ἐκ τοῦ θεοῦ, ἀλλ' ἡ μὲν οὐσία κατὰ τὴν ἀπ' αὐτοῦ πρόοδον — ἡ γὰρ οὐσία πᾶσιν ἀπὸ τοῦ θεοῦ πρόεισιν — ἡ δὲ τελειότης κατὰ τὴν πρὸς αὐτὸν ἐπιστροφήν. οὐ δύναται γὰρ τελειωθῆναι κατ' ἀρετὴν ἄνθρωπος, εἰ μὴ τὴν ἐπιστροφὴν πρὸς τὸν θεὸν ἐνεργοίη. ὥσπερ γὰρ ὁ πρὸς παράδειγμα ζωγραφῶν οὐκ ἂν ἄλλως τὴν προκειμένην ἀρχετυπίαν λάβοι ἐν τῷ μιμήματι, εἰ μὴ συνεχῶς πρὸς αὐτὴν ἐπιστρέφοι, οὕτω καὶ ὁ τὴν ἀρετὴν ἐν ἑαυτῷ σκιαγραφῶν ἢ καὶ περιχρωννὺς οὐκ ἂν ἄλλως δυνηθείη ἐξομοιωθῆναι θεῷ, εἰ μὴ πρὸς ἐκεῖνον διηνεκῶς ἐπιστρέφοι καὶ διὰ τοῦ ἐπιστημονικοῦ λόγου καὶ τῆς τοῦ παραδείγματος θεωρίας ἐν ἑαυτῷ ἐξακριβώσεται τὸ πρωτότυπον.

---

71. 9 ποιεῖν S — 11 τελεωτάτη PV — 12 ὁ-εὐαγγελίοις om B ἐν εὐαγγελίοις om P

72. S, PB, VR 2 σοφὸς PB — 5 ἐπεὶ S — 7 ποιεῖσθαι PB — 10 πρὸς om VR

73. S, PBC, VR — 3 ὄντως om VR — 5 καὶ[1] om PB — 6 ἀπ' om VR — 9 γὰρ om PBC / ὁ: ὡς S — 10 ἄλλως om S / λάβοιεν ἐν S — 13 τῶ θεῶ [P]BR — 14 ἐν ἑαυτῷ: ὡς αὐτῶ S

74. Ἔτι περὶ ἀρετῶν. [55]

Ὁ μὲν ἔχων τὴν θεουργικὴν ἀρετὴν θεοπάτωρ κατονομάζεται· ἐπειδὴ γὰρ θεοὺς τοὺς ἀνθρώπους οὗτος ἐργάζεται, διὰ ταῦτα θεοπάτωρ καλεῖται. ὁ δὲ ἔχων τὴν θεωρητικὴν ἀρετὴν θεῖος ὀνομάζεται· ὁ δὲ ἔχων τὴν καθαρτικὴν δαιμόνιος· ὁ δὲ ἔχων τὴν πολιτικὴν σπουδαῖος. θεοπάτωρ δὲ καλεῖται ὁ θεουργὸς καὶ διὰ τὸ τῆς ψυχῆς εἶναι πατήρ, ὃν θεὸν καλοῦμεν διὰ τὴν θεωρητικὴν ἀρετήν. δεῖ οὖν τὸν ἀναγόμενον εἰς θεοῦ ἐξομοίωσιν πρῶτα μὲν σπουδαῖον γενέσθαι, εἶτα δαιμόνιον, εἶτα θεῖον, καὶ τέλος θεοπάτορα. ὁ μὲν οὖν δαιμόνιος καὶ ὁ σπουδαῖος μεταβληθείη ἂν καὶ εἰς κακίαν ποτέ· ἴσως δὲ καὶ ὁ θεῖος ἤτοι ὁ θεωρητικός· ὁ δὲ θεουργὸς ἤτοι ὁ θεοπάτωρ ὁ τῆς θείας ὅλως ἐκστάσεως γεγονὼς οὐκ ἄν ποτε μεταθείη πρὸς τὸ ἐναντίον εἶδος τῆς ἀρετῆς, ἔξω ἑαυτοῦ ὢν καὶ θεὸς ἀτεχνῶς γεγονώς.

75. Ἔτι περὶ ἀρετῶν. [XVIII]

Διττῆς οὔσης τῆς ἀρετῆς, τῆς μὲν διανοητικῆς, καθ' ἣν τὰ κρείττω διανοούμεθα, τῆς δὲ ἠθικῆς, καθ' ἣν πρὸς τὰ καλὰ διὰ μιμήσεως ἐθιζόμεθα, ἡ μὲν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν, διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δὲ ἠθικὴ ἐξ ἔθους παραγίνεται, ὅθεν καὶ τὸ ὄνομα ἔσχηκε μικρὸν παρεκκλίνον ἀπὸ τοῦ ἔθους. ἐξ οὗ καὶ δῆλον ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται. οὐθὲν γὰρ τῶν φύσει ὄντων ἄλλως ἐθίζεται εἶναι· οἷον ὁ λίθος φύσει κάτω φερόμενος οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι, οὐδὲ τὸ πῦρ κάτω. ὅθεν οὔτε φύσει οὔτε παρὰ φύσιν ἐγγίνονται ἡμῖν αἱ ἀρεταί, ἀλλὰ δυναμένοις μὲν αὐτὰς δέξασθαι, τελειουμένοις δὲ διὰ τοῦ ἐξ ἔθους.

76. Ἔτι περὶ ἀρετῶν. [XIX]

Πᾶσα ἠθικὴ ἀρετὴ μεσότης ἐστὶ καὶ πέφυκε φθείρεσθαι ὑπὸ ἐνδείας καὶ ὑπερβολῆς. τῆς γοῦν ἀνδρείας ἐν μεσότητι οὔσης ὁ μὲν πάντα φεύγων καὶ φοβούμενος καὶ μηδὲν ὑπομένων δειλὸς γίνεται, ὅπέρ ἐστιν ἔνδεια· ὁ δὲ μηδὲν ὅλως φοβούμενος, ἀλλὰ πρὸς πάντα βαδίζων θρασύς, ὅπέρ ἐστιν ὑπερβολή. καὶ αὖθις μεσότητος οὔσης τῆς σωφροσύνης ὁ μὲν πάσης ἡδονῆς ἀπολαύων ἀκόλαστος, ὅπέρ ἐστιν ὑπερβολή· ὁ δὲ πᾶσαν φεύγων, ὥσπερ οἱ ἄγροικοι, ἀναίσθητός τις. εἰσὶ δὲ ἀρεταὶ

---

74. 2-9 : cf. Porph., sent. 32⁷, p. 22, 10-14 Mommert.
75. 2-12 : Ar., eth. Nic. II 1, 1103 a 14-26.
76. 2-3 : ib. II 2, 1104 a 12-13. — 3-8 : 1104 a 20-24. — 8-10 : 1104 b 13-16. — 10-13 : ib. II 1, 1103 a 34-b 2.

---

74. S, PBC, VR 3 καὶ τοὺς S — 6 δὲ om PBC / καὶ om S — 9 οὖν om PB — 12 μεταβληθείη S μετατεθείη CR
75. S, PBC, VR 2 κρείττονα SB — 4 ἐναγόμεθα S ἐνεθιζόμεθα VR — 5 καὶ τὴν αὔξησιν om S / ἐμπορίας PB — 6-7 παρεκκλίνων SVR — 8 γίνεται S — 11 αὐτὰ PC — 12 ἐξ om SB, Ar
76. S, PBC, VR 2 ἠθική: ἡ θεουργικὴ PB — 6 καὶ-7 ὑπερβολή om PC — 8 τις: ἐστιν S

περὶ πράξεις καὶ πάθη· παντὶ δὲ πάθει καὶ πάσῃ πράξει ἕπεται ἡδονὴ καὶ λύπη· καὶ διὰ τοῦτό ἐστιν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. καὶ τὰ μὲν δίκαια πράττοντες δίκαιοι γινόμεθα, τὰ δὲ σώφρονα σώφρονες, καὶ τὰ μὲν ἀνδρεῖα ἀνδρεῖοι, τὰ δὲ φρόνιμα φρόνιμοι, καὶ οὕτως ἐπὶ πάσης ἀρετῆς.

77. Ἔτι περὶ ἀρετῶν. [56]

Τρία ταῦτα εἰσὶν ἐν ταῖς ψυχαῖς, δύναμις, πάθος, ἕξις. καὶ πάθος μέν ἐστιν ἐπιθυμία, ὀργή, φόβος, φθόνος, θάρσος, χαρά, φιλία, μῖσος, πόθος, ζῆλος, ἔλεος. δύναμις δέ ἐστι καθ' ἣν παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἣν δυνατοὶ ὀργισθῆναι ἢ λυπηθῆναι ἢ ἐλεῆσαι. ἕξις δὲ καθ' ἣν πρὸς τὰ πάθη ἔχομεν καλῶς ἢ κακῶς· οἷον πρὸς τὸ ὀργισθῆναι εἰ μὲν σφοδρῶς ἢ ἀνειμένως, κακῶς ἔχομεν, ὁμοίως δὲ καὶ πρὸς τὰ ἄλλα. αἱ οὖν ἀρεταὶ οὔτε πάθη εἰσὶν οὔτε δυνάμεις, ἀλλ' ἕξεις. οὐ γὰρ λεγόμεθα κατὰ τὰ πάθη σπουδαῖοι ἢ φαῦλοι, κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας λεγόμεθα σπουδαῖοι καὶ φαῦλοι· καὶ φοβούμεθα μὲν ἢ ὀργιζόμεθα ἀπροαιρέτως, αἱ δὲ ἀρεταὶ προαιρέσεις τινὲς ἢ οὐκ ἄνευ προαιρέσεως. καὶ κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα, κατὰ δὲ τὰς κακίας καὶ τὰς ἀρετὰς οὐ κινεῖσθαι, ἀλλὰ διακεῖσθαί πως.

78. Ἔτι περὶ ἀρετῶν. [XXI]

Ὅτι ἀρετή ἐστιν ἕξις προαιρετικὴ ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, μεσότης δὲ δυοῖν κακιῶν, τῆς μὲν καθ' ὑπερβολήν, τῆς δὲ κατ' ἔλλειψιν· καὶ τὸ τὰς μὲν ἐλλείπειν, τὰς δὲ ὑπερβάλλειν τοῦ δέοντος ἔν τε τοῖς πάθεσι καὶ ταῖς πράξεσι, τὴν δὲ ἀρετὴν μέσον καὶ εὑρίσκειν καὶ αἱρεῖσθαι. διὸ κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν ὁρισμὸν μεσότης ἐστὶν ἡ ἀρετή, κατὰ δὲ τὸ ἄριστον καὶ τὸ εὖ ἀκρότης. οὐ πᾶσα δὲ ἐπιδέχεται πρᾶξις οὐδὲ πᾶν πάθος τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμασται συνημμένα μετὰ τῆς φαυλότητος, οἷον ἐπιχαιρεκακία, ἀναισχυντία, φθόνος, καὶ ἐπὶ τῶν πράξεων μοιχεία, κλοπή, ἀνδροφονία. πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα λέγεται τῷ φαῦλα εἶναι, ἀλλ' οὐχὶ αἱ ὑπερβολαὶ αὐτῶν οὐδὲ αἱ ἐλλείψεις. πᾶσα γὰρ πρᾶξις κλοπῆς καὶ μοιχείας καὶ ἀνδροφονίας ἁμαρτία ἐστί, καὶ οὐκ ἔστιν αὐτῶν τὸ μὲν ὑπερβάλλον, τὸ δὲ ἐλλεῖπον, ἵνα τὸ μέσον αὐτῶν ὡς ἀρετὴν ἑλοίμεθα.

79. Ἔτι περὶ ἀρετῶν. [57]

Ὅτι ἡ μὲν ἀνδρεία μεσότης ἐστὶν ὡς μὲν ὑπερβολῆς τοῦ θράσους, ὡς δὲ ἐλλείψεως τῆς δειλίας, καὶ ἔστι περὶ φόβους καὶ θάρρη. τῆς δὲ

---

77. 2-13: Ar., eth. Nic. II 4, 1105 b 19-1106 a 6.
78. 2-12: ib. II 6, 1106 b 36-1107 a 13.
79. 2-7: ib. II 7, 1107 a 33-b 10. — 7-10: 1107 b 16-23. — 10-12: 1107 b 27-30.

---

77. S, PBC, VR 4-5 λεγόμεθα S, Ar: γινόμεθα Ω — 7 εἰ μὲν: ἢ S / καὶ S, Ar: om Ω — 10 φαῦλοι: φιλάν(θρωπ)οι S
78. S, PB, VR 2 ἕξεις R / προαιρετικαὶ VR / οὖσαι VR — 3 καλῶν S κακῶν B — 7 ἀόριστον S — 12 αἱ om SR — 13 ἁμάρτημα S — 14 αὐτῆς PB
79. S, PBC, VR 3 ἔστι: ἔτι S

σωφροσύνης ὑπερβολὴ μὲν ἡ ἀκολασία, ἔλλειψις δὲ ἡ ἀναισθησία, λεγέσθω γὰρ οὕτως. περὶ δὲ δόσιν χρημάτων καὶ λῆψιν μεσότης μὲν ἡ ἐλευθεριότης, ὑπερβολὴ δὲ ἡ ἀσωτία ἤτοι ἀφειδία τῆς χρήσεως, ἔλλειψις δὲ ἡ ἀνελευθερία ἤτοι φειδωλία. περὶ δὲ χρήματα μεσότης μὲν ἡ μεγαλοπρέπεια, ὑπερβολὴ δὲ ἡ ἀπειροκαλία, ἔλλειψις δὲ ἡ μικροπρέπεια. περὶ δὲ τιμὴν καὶ ἀτιμίαν μεσότης μὲν ἡ μεγαλοψυχία, ὑπερβολὴ δὲ χαυνότης τὶς λεγομένη, ἔλλειψις δὲ ἡ μικροψυχία. περὶ δὲ ὄρεξιν τιμῆς ὁ μὲν ὑπερβάλλων ταῖς ὀρέξεσι φιλότιμος, ὁ δὲ ἐλλείπων ἀφιλότιμος, ὁ δὲ μέσος ἀνώνυμος· πολλὰ γάρ εἰσι πράγματα ὄνομα κύριον μήπω ἐσχηκότα.

80. Ἔτι περὶ ἀρετῶν. [58]

Περὶ τὴν πραότητα μεσότητα οὖσαν ἡ μὲν ὑπερβάλλουσα κακία ὀργιλότης, ἡ δὲ ἐλλείπουσα ἀοργησία. περὶ δὲ τὸ ἀληθὲς ὁ μὲν μέσος ἀληθὴς καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω· ἡ δὲ προσποίησις ἡ μὲν ἐπὶ τὸ μεῖζον ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζών, ἡ δὲ ἐπὶ τὸ ἔλαττον εἰρωνεία καὶ ὁ ἔχων αὐτὴν εἴρων. ἐπεὶ δὲ δύο ἡδύτητές εἰσιν, ἡ μὲν ἐν παιδιᾷ, ἡ δὲ ἐν τῷ βίῳ, ὁ μὲν ὡς δεῖ ἡδὺς ὢν φίλος καὶ ἡ μεσότης φιλία, ὁ δὲ ὑπερβάλλων κόλαξ, ὁ δὲ ἐλλείπων δύσερίς τις καὶ δύσκολος· τῆς δὲ ἐν παιδιᾷ ἡδύτητος ἡ μὲν μεσότης εὐτραπελία, ἡ δὲ ὑπερβολὴ βωμολοχία, ἡ δὲ ἔλλειψις ἀγροικία. καὶ ὁ μὲν αἰδήμων μέσος, ὁ δὲ ὑπερβάλλων ἀναίσχυντος, ὁ δὲ ἐλλείπων καταπλήξ, ὁ πάντα αἰδούμενος.

81. Ἔτι περὶ ἀρετῶν. [XXII]

Ἦθος ἐστὶ ποιότης τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, ὅταν ὑπὸ τοῦ λόγου κοσμῆται καὶ οἷον ποιότητα ἤθους λαμβάνῃ, περὶ ὃ καὶ ἠθικαὶ ἀρεταὶ συνίστανταί τε καὶ ὀνομάζονται. ἡ γὰρ ψυχὴ συνηρμοσμένη κατὰ λόγους καὶ ἀριθμοὺς οὐσιώδεις ἕτερον μὲν ἔχει τὸ νοερὸν καὶ λογιστικόν, ὃ κρατεῖν καὶ ἄρχειν τοῦ ἀλόγου πέφυκεν, ἕτερον δὲ τὸ παθητικὸν καὶ ἄλογον. καὶ τούτου τοῦ παθητικοῦ τὸ μὲν σωματικώτερόν ἐστιν, οἷον τὸ ἐπιθυμητικόν, τὸ δὲ ἔστιν ὅπου τῷ λογισμῷ παρέχον ἰσχὺν καὶ δύναμιν, ὃ καὶ θυμοειδὲς ὀνομάζεται. διαφέρει δὲ φρόνησις σοφίας, ὅτι ἡ μὲν φρόνησις τύχης δεῖται, ἡ δὲ σοφία οὐδὲ βουλῆς πρὸς τὸ οἰκεῖον τέλος. μεσότης δέ ἐστιν ἡ ἀρετὴ οἷον ἁρμονία τὶς καὶ ἐμμέλεια, τὸ ὑπερβάλλον καὶ ἐλλεῖπον τῶν κακιῶν φεύγουσα.

---

80. 2-3: ib. 1108 a 6-9. — 3-6: 1108 a 19-23. — 6-7: 1108 a 13-14. — 7-8: 1108 a 27-30. — 9-10: 1108 a 23-26. — 10-12: 1108 a 34-35.
81. 2-4: cf. Ar., eth. Eud. II 1, 1220 b 5-6.

---

79. 5 δὲ S: om Ω / μὲν: δὲ VR[1] — 6, 7 ἤτοι: ἡ add PBC — 7 δὲ[2] om S — 9 δὲ om S — 11 ὁ[2]-12 ἀφιλότιμος om S
80. S, PBC, VR 4 ἡ[3]: εἰ P(B) — 5 ταύτην PBC — 6 ταύτην BC
81. S, PB, VR 3 κοσμεῖται BV / λαμβάνει P[B]V / καὶ[2]: αἱ add PB — 6 λογικὸν S / ὃ: καὶ PB — 11 τέλος: ἔργον S

82. Τίνι διαφέρει ἀρχὴ καὶ στοιχεῖον. [59]

Ἡ μὲν ἀρχὴ οὐκ ἔχει τὶ πρότερον ἑαυτῆς, ὥσπερ ἡ ὕλη καὶ τὸ εἶδος· τὸ δὲ στοιχεῖον σύνθετον ὂν καὶ ξυγκείμενον ἐξ ὕλης καὶ εἴδους ἀρχὴν ἔχει τὴν ὕλην καὶ τὸ εἶδος. ἔστι δὲ ἡ ὕλη πρᾶγμα ἀσώματον, ἄποιον, λόγῳ μόνῳ ἑρμηνευόμενον, αἰσθήσει δὲ μὴ ὑποκείμενον. αὕτη οὖν ἡ ὕλη ὑπὸ μορφῆς τινὸς καὶ σχήματος τυπουμένη, ὅπέρ ἐστι τὸ εἶδος, σωματοῦται. καὶ πρῶτον μὲν γίνεται στοιχεῖον, ἢ αἰθὴρ ἢ πῦρ ἢ ἀὴρ ἢ ὕδωρ ἢ γῆ· ἔπειτα τούτων τῶν στοιχείων συμπλακέντων ἀλλήλοις γίνεται σῶμα σύνθετον, ἢ ἔμψυχον ἢ ἄψυχον. καὶ ἡ μὲν ὕλη καὶ τὸ εἶδος ἀρχοειδέστερα τῶν στοιχείων εἰσί, τὰ δὲ στοιχεῖα τῶν ἄλλων σωμάτων στοιχειωδέστερα. ἀρχὴν δὲ λέγομεν τὴν ὕλην, οὐχ᾽ ὅτι οὐκ ἔχει ἄλλο ὑπέρτερον ἑαυτῆς, ἀλλ᾽ ὅτι τὰ σώματα ὑπ᾽ αὐτὴν ἀνάγεται προσεχῶς.

83. Περὶ τῶν ἀρχῶν, τί εἰσίν. [60]

Ἀρχὴ τῶν ὄντων πρώτη μὲν καὶ ὑπεράρχιος ὁ θεός, μετὰ δὲ θεὸν πολλαὶ ἀρχαὶ τῶν φυσικῶν πραγμάτων εἰσί. καὶ τῶν μὲν στοιχείων ἀρχαὶ ἡ ὕλη καὶ τὸ εἶδος, ὡς εἴρηται· τῶν δὲ συνθέτων σωμάτων αὐτὰ τὰ ἁπλᾶ στοιχεῖα. ἀλλ᾽ οἱ μὲν ἄλλοι τῶν φιλοσόφων διῃρέθησαν· καὶ τοῖς μὲν ἔδοξεν ἀρχὴ τὸ πῦρ, διὰ τὴν δύναμιν καὶ τὸ καταναλίσκειν πάντα εἰς ἑαυτό· τοῖς δὲ ὁ ἀήρ, διὰ τὴν τῶν ζώων ἀναπνοήν· τοῖς δὲ τὸ ὕδωρ, διὰ τὴν γόνιμον φύσιν· τισὶ δὲ τούτων καὶ ἡ γῆ ἀρχὴ ἔδοξε, διὰ τὸ τὰ πλείω τῶν ζώων ὑπὸ τῆς γῆς γεννᾶσθαι καὶ εἰς αὐτὴν ἀναλύεσθαι· ἕτεροι δὲ αὐτὰ τὰ τέσσαρα στοιχεῖα ἀρχὰς τῶν ὄντων ἀπεφήναντο. Πλάτων δὲ ἀρχὰς εἴρηκε τὸν θεὸν ὡς πατέρα καὶ ποιητήν, τὴν ὕλην ὡς δεχομένην τὴν δημιουργίαν, καὶ τὴν ἰδέαν. ἰδέαν δὲ λέγει Πλάτων τὴν πρώτην ἔννοιαν τοῦ θεοῦ καὶ τὴν ἄρρητον ἐκείνην φαντασίαν καὶ ἀνατύπωσιν καθ᾽ ἣν τὸν κόσμον ἐδημιούργησεν.

84. Περὶ ἰδεῶν. [XXIII]

Ἰδέα κατὰ Πλάτωνα ἐστὶ καὶ ἡ πρώτη τοῦ δημιουργοῦ ἔννοια, οἷον ἀνατύπωσίς τις οὖσα καὶ διαμόρφωσις τοῦ δημιουργήματος. ὁ δὲ αὐτὸς

---

82. 1: Plut., plac. I 2. — 2-4: p. 275, 25-31 Diels.
83. 1: ib. I 3. — 4: § 82^{3-4}. — 6: Plut. p. 283, 16-17. — 7: 278, 9-10. — 7-8: 276, 5-6. — 8-10: cf. Doxogr. p. 284 b 10-14 Diels. — 10-11: cf. Plut. p. 286, 18-287, 2. — 11-14: p. 287, 17-288, 6.
84. 1: Plut. I 10. — 2-8: cf. Psell., PGr. 122, 1153 A 5-8. — 9-11: Plut. p. 309, 5-8 (Ar., metaph. A 9).

---

82. ADZ, SWH, PB, VR 1 στοιχεῖα ZPBVR — 2 αὐτῆς AD — 3 συγκείμενον D[Z]SWB — 4 καὶ ἄποιον PB — 5 δὲ om PB — 7-8 ἢ ὕδωρ ἢ ἀὴρ VR — 10 ἀργοειδέστερα VR — 10 τῶν¹-11 στοιχειωδέστερα om AD
83. ADZ, SWH, PBC, VR 1 τῶν om DSW — 2 καὶ om SW[H] — 4 ἡ: ὅτι ἡ PBC / ὡς om PBCVR — 5 ἀλλ᾽ οἱ μὲν ἄλλοι: ἄλλοι μὲν οὖν ἄλλως SWH — 7 αὐτό VR — 9 τὰ om PC / ὑπὸ: ἀπὸ AR — 12 τὴν¹: καὶ τὴν PC / δὲ om SW

ἀνὴρ πρὸ τοῦ αἰσθητοῦ κόσμου παράδειγμα φησὶ στήσασθαι τὸν θεὸν τὸν νοητὸν διάκοσμον, καὶ καλεῖ καὶ τοῦτον ἰδέαν. τρίτην ἰδέαν φησὶ τοὺς καθόλου λόγους καὶ χωριστοὺς τῶν σωμάτων, οἷον τὸν τοῦ ἀνθρώπου λόγον τὸν καθόλου καὶ τὸν τοῦ ἵππου καὶ τὸν τοῦ βοός. ἰδέαν καλεῖ καὶ τὸν εν τῇ φύσει λόγον καὶ τὸν ἐν τῇ ψυχῇ καὶ τὸν ἐν τῷ νοΐ. ὁ δέ γε Ἀριστοτέλης τὰ μὲν δέχεται τοῦ Πλάτωνος, τὰ δὲ οὐ προσίεται. ὕπαρξιν μὲν γὰρ δίδωσι ταῖς ἰδέαις· οὐ μὴν καθ' ἑαυτὰς ὑφεστάναι ταύτας φησίν, ἀλλ' ἀχωρίστους τῶν σωμάτων εἶναι.

85. Περὶ δαιμόνων καὶ ἡρώων. [XXIV]

Ἡ μὲν καθ' ἡμᾶς εὐσέβεια πάντας τοὺς δαίμονας κακοὺς καὶ ἀρχηγοὺς κακίας ἀποφαίνεται· Ἕλληνες δὲ περὶ τὸν κόσμον τούτους διαιροῦντες καὶ περὶ τὰς τάξεις τοῦ παντὸς ἀφορίζοντες τοὺς μὲν αἰθερίους καὶ ἐμπύρους καὶ ἀερίους τούς τε ἑνοειδεῖς καὶ νοεροὺς καὶ ψυχικοὺς ἀγαθοὺς νομίζουσί τε καὶ ὀνομάζουσι, τοὺς δὲ περὶ τὴν ὕλην καὶ τὰ σώματα κακούς, οὐχ' ὅτι κατὰ προαίρεσιν εἰσὶ πονηροί, ἀλλ' ὅτι κατὰ φύσιν παρὰ θεοῦ ἔλαχον τὴν ὕλην φρουρεῖν καὶ τὰ σώματα. εἰ δὲ καὶ ταῖς ἀνθρωπίναις ἐναντιοῦνται ψυχαῖς, ἀλλὰ καὶ τοῦτο φασὶ παρὰ θεοῦ λαβεῖν τὰς φιλοσωμάτους κολάζειν ψυχάς. οἱ δὲ ἥρωες μετὰ τοὺς δαίμονας τεταγμένοι εἰσί, τὴν αὐτὴν μὲν ἔχοντες ἐκείνοις φύσιν, οὐχ' ὁμοίαν δέ, ἀλλ' ἐλάττονα.

86. Περὶ ὕλης. [61]

Ὕλη ἐστὶ πρᾶγμα οἷον εἰπεῖν ἄϋλον, αἰσθήσει μὲν ἀθεώρητον, διανοίᾳ δὲ μόνῃ ληπτόν. χεῖρον πάντων τῶν ὄντων, ἄμορφον, ἀνείδεον, ἀδιατύπωτον, οὐσία ἀνούσιος καὶ ὕπαρξις ἀνύπαρκτος. ἐὰν γὰρ ἀνέλῃς τυχὸν ἀπὸ τῶν σωμάτων τὰς ποσότητας, τὰς ποιότητας, τὰς σχέσεις, τὰς ἕξεις, τὰς τροπάς, τὰς κινήσεις, τὰς ἀλλοιώσεις, τὰς μεταβολάς, πᾶν ἕτερον ὁτιοῦν, τὸ καταλειπόμενον ἡ ὕλη ἐστίν. ἐὰν γὰρ ἀνέλῃς ἀπὸ τοῦ πυρὸς τὴν θερμότητα καὶ τὴν ξηρότητα, καὶ ἀπὸ τοῦ ἀέρος τὴν θερμότητα καὶ τὴν ὑγρότητα, καὶ ἀπὸ τοῦ ὕδατος τὴν ὑγρότητα καὶ τὴν ψυχρότητα, καὶ ἀπὸ τῆς γῆς τὴν ξηρότητα καὶ τὴν ψυχρότητα, τὸ ἐσχάτως τούτοις ὑπολειφθὲν ἡ ὕλη ἐστί.

---

85. 1: Plut., plac. I 8. — 2-7: cf. Procl., de mali subs., p. 214-5 Cousin (1864); Olymp., in Phaed. p. 230, 19-32; 189, 10-20 Norvin; Psell., PGr. 122, 1148 C 10-14.
86. 1: Plut., plac. I 9. — 3-4: ib. p. 308, 5-6 Diels.

---

84. ADZ, SWH, PBC, VR 4 συστήσασθαι SW — 4 τὸν-5 φησὶ om SWH — 5 καὶ² om VR / τρίτην δὲ DC — 7 τὸν¹ om SW — 9 ἀριστοτέλης δέ γε PB ἀριστοτέλης δὲ CVR — 10 μὲν om VR

85. AZ, SWH, PB, VR 3 τοῦτον PBVR — 5 καὶ ἀερίους καὶ ἐμπυρίους PB / ἐμπυρίους SWPBVR — 6 τε om [S]PBR — 9 δὲ om PBVR / ἀνθρωπίναις: τῶν ἀνθρώπων SW / φησὶ S²B — 12 ἀλλ' om V(R)

86. ADZ, SWH, PB, VR 5 τὰς ποιότητας om SVR — 6 ῥοπὰς SWH — 9 τὴν² om (A)D — 10 τὴν ψυχρότητα καὶ τὴν ὑγρότητα P(R) / τὴν² om AD — 11 καταλειφθὲν AD / ἡ om PBVR

87. Περὶ αἰτιῶν. [62]

Αἰτίας ὁ μὲν Ἀριστοτέλης τέσσαρας δογματίζει, ὁ δὲ Πλάτων ἕξ. ἔστι δὲ αἰτία πρώτη μὲν ἡ ποιητική· ὥσπερ τῆς κλίνης πρῶτον αἴτιον ὁ κλινοποιός, ὡς ποιητὴς ταύτης. ὑλικὸν δὲ αἴτιον τῆς κλίνης τὸ ξύλον· ἄνευ γὰρ ὕλης οὐκ ἂν γένοιτο κλίνη. εἰδικὸν δὲ τὸ σχῆμα ταύτης καὶ ἡ ἰδέα. τελικὸν δὲ ἡ ἐν ταύτῃ τῶν ἀνθρώπων ἀνάπαυσις· διὰ ταύτην γὰρ τὴν αἰτίαν τὴν κλίνην ἐξεργαζόμεθα. ὁ μὲν οὖν Ἀριστοτέλης τὰς τέσσαρας ταύτας αἰτίας οἶδεν. ὁ δὲ Πλάτων ἑτέρας δύο προστίθησι, τὴν ὀργανικήν, οἷον τὸν πρίονα ἢ τὸ τέρετρον, δι' ὧν τὴν κλίνην ποιοῦμεν, καὶ τὸ παραδειγματικόν· τοῦτο δὲ διττόν ἐστιν, ἢ γὰρ ἔξωθεν ἔκκειται, καὶ πρὸς ἐκεῖνο πᾶς τεχνίτης ποιεῖ τὸ τεχνιτευόμενον, ἢ ἐν τῇ διανοίᾳ λαμβάνει τὴν ἀνατύπωσιν.

88. Περὶ σχημάτων. [63]

Σχῆμα ἐστὶ ποιά τὶς τῶν μαθηματικῶν σωμάτων ἀποπεράτωσις. μαθηματικὸν δὲ σῶμα ἐστὶν ἅπαν τὸ ἐσχηματισμένον, οἷον τὸ στρογγύλον, τὸ τρίγωνον, τὸ τετράγωνον, τὸ πεντάγωνον, καὶ ὅσα τοιαῦτα. τὰ τοίνυν τέσσαρα στοιχεῖα περιφερῆ δογματίζουσι. Πλάτων δὲ καὶ περιφερῆ καὶ ἐν διαφόροις πλάττει σχήμασι· τὴν μὲν γὰρ γῆν διὰ τὸ εὐέδραστον καὶ τὸ βεβηκὸς αὐτῆς κυβοειδῆ λέγει, ἑδραῖος γὰρ καὶ ὁ κύβος· τὸ δὲ πῦρ διὰ τὸ ἄνω φέρεσθαι καὶ εἰς ὀξὺ ἀπολήγειν ἀπὸ πλατείας βάσεως πυραμοειδὲς τίθησι· καὶ τἆλλα ἑτέρως σχηματίζει. στρογγύλα δὲ αὖθις ταῦτα τίθεται διότι ὁ οὐρανὸς κύκλῳ φερόμενος περιτορνεύει τὴν τούτων ἐπιφάνειαν.

89. Περὶ χρωμάτων. [64]

Χρῶμα ἐστὶν ὁρατὴ ποιότης τῆς τῶν σωμάτων ἐπιφανείας. ὁ δέ γε Πλάτων καινόν τινα τρόπον διερμηνεύει περὶ τῶν χρωμάτων. λέγει δὲ ὅτι καὶ ἀπὸ τῶν ὑποκειμένων σωμάτων καὶ ἀπὸ τῶν ὁρώντων ὀμμάτων ἀπόρροιαι τινὲς πέμπονται, αἵτινες ἐν τῷ μεταξὺ τοῦ διαστήματος μιγνύμεναι τὰς ἰδέας τῶν χρωμάτων ποιοῦσιν. οὐ πᾶσι δέ φασιν ὁμοίως τὰ αὐτὰ φαίνεσθαι χρώματα, ἀλλὰ πρὸς τὰς διαφόρους κράσεις τῶν ὁρώντων καὶ ὁρωμένων τὰς χρόας μεταχρωννύεσθαι. τοῖς μὲν γὰρ ἰκτεριῶσιν ὠχρὰ τὰ ὁρώμενα φαίνεται· τοῖς δὲ τὴν κόρην ξανθὴν ἔχουσι ξανθά· τοῖς δὲ φλέγμα περὶ τοὺς ὑμένας τῶν ὀφθαλμῶν ἔχουσιν ὑπόλευκα· καὶ ἄλλοις ἄλλως, κατὰ τὴν διαφορὰν τῶν κράσεων.

---

87. 1: Plut., plac. I 11. — 2-8: cf. Ar., phys. II 3, 194 b 23-35.
88. 1: Plut., plac. I 14. — 5-9: Pl., Tim. 55 C-56 C. — 10-11: 33 B.
89. 1: Plut., plac. I 15. — 2: ib. p. 313, 2-3 Diels. — 2-6: Pl., Tim. 67 C-68 D.

---

87. AZ, SWH, PBC, VR 2 μὲν ὁ ASHP[C] — 5 ἰδικὸν CVR — 7 ἐργαζόμεθα ZC

88. AZ, SWH, PB, VR 2 ποιά τὶς: ποιότης PBVR / μαθητικῶν VR — 3 μαθητικὸν VR — 6 γὰρ om PB — 7 καὶ[2] om WPB — 9 πυραμοειδῆ WVR[2] / τἆλλα: τὰ πολλὰ PBVR — 10 περιφερόμενος SW

89. AZ, SWH, PBC, VR 3 τῶν om VR / δὲ: γὰρ PBC — 4 καὶ[1] om SWH — 5 τῷ: γῆ SWH — 6 μιγνύμεναι: γινόμεναι PBC γενόμεναι VR — 7 χρώματα φαίνεται SW — 9 ἔχουσι ξανθὴν PBC — 10 δὲ om VR

90. Περὶ μίξεως καὶ κράσεως. [65]

Ἡ μὲν μίξις ἕνωσις ἐστὶ σωμάτων κατὰ παράθεσιν, ὡς ἐπὶ ἐλαίου καὶ ὕδατος. οὐ γὰρ δι' ὅλου ταῦτα κίρναται, ἀλλὰ κατὰ τὰς ἄκρας ἐπιφανείας αὐτῶν ἑνοῦται· ἡ γὰρ κάτω ἐπιφάνεια τοῦ ἐλαίου μίγνυται τῇ ἄνω ἐπιφανείᾳ τοῦ ὕδατος. κρᾶσις δέ ἐστιν ὅταν τὰ ἑνούμενα σώματα δι' ἀλλήλων ἀνακραθῇ, ὡς ἐπὶ οἴνου καὶ ὕδατος. καὶ τὰ μὲν μιγνύμενα σώματα ἐκ μέρους μὲν ἑνοῦται, ἀσύγχυτα δὲ μένει· τὰ δὲ κεραννύμενα δι' ἀλλήλων μὲν διήκει καὶ τέμνει καὶ τέμνεται, συγκέχυται δέ. ἡ δὲ τοῦ θεοῦ πρὸς ἡμᾶς ἕνωσις καὶ μίξις ἐστὶ διὰ τὸ ἀσύγχυτον καὶ κρᾶσις διὰ τὸν τρόπον τῆς ἀντιδόσεως. ἔστιν οὖν αὐτῷ πρὸς τὸ πρόσλημμα καὶ ἡ μίξις καινὴ καὶ ἡ κρᾶσις παράδοξος.

91. Περὶ γενέσεως καὶ φθορᾶς. [66]

Γένεσις μὲν λέγεται καὶ ἡ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι μεταβολή· γένεσιν δέ τινες καὶ τὴν κίνησιν ὠνομάκασι, καθό φασιν ὑπὸ γένεσιν εἶναι τὸν κόσμον, τουτέστιν ὑπὸ κίνησιν. φθορὰ δέ ἐστιν ἡ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι μεταβολή. πᾶν οὖν τὸ ἀπὸ τοῦ μὴ εἶναι γενόμενον καὶ ἀπὸ τοῦ γενέσθαι φθειρόμενον ὑπὸ γένεσιν ἐστὶ καὶ φθοράν. κατὰ γοῦν τὸν ἡμέτερον λόγον καὶ τῷ κόσμῳ γένεσις ἕπεται καὶ φθορά· ἦν γὰρ ὅτε οὐκ ἦν καὶ ἔσται ὅτε οὐκ ἔσται. αὔξησις μὲν οὖν καὶ ἀλλοίωσις καὶ φορὰ καὶ ἡ ἀπὸ τόπου εἰς τόπον μετάβασις κινήσεις εἰσί· γένεσις δὲ καὶ φθορὰ οὐκ εἰσὶ κινήσεις, ἀθρόως γὰρ τὸ γενόμενον γέγονε καὶ τὸ φθαρὲν ἔφθαρται.

92. Περὶ σωμάτων. [67]

Σῶμα ἐστὶ τὸ πλάτος ἔχον καὶ μῆκος καὶ βάθος. καὶ ἔστι μῆκος μὲν λόγου χάριν τὸ ἀπὸ κεφαλῆς εἰς πόδας· πλάτος δὲ τὸ ἀπὸ τῆς δεξιᾶς χειρὸς εἰς τὴν ἀριστερὰν ἢ τὸ ἀνάπαλιν· βάθος δὲ τὸ ἀπὸ τῶν στέρνων ἐπὶ τὰ νῶτα ἢ τὸ ἔμπαλιν. πᾶν δὲ σῶμα ἢ βαρὺ ἢ κοῦφον ἐστί· καὶ τὸ μὲν βαρὺ κάτω φέρεται, τὸ δὲ κοῦφον ἄνω αἴρεται. τόποι δὲ τῶν σωμάτων, τῶν μὲν κούφων ὁ ἄνω τοῦ παντὸς τόπος, τῶν δὲ βαρέων ὁ κάτω. καὶ κουφότατον μὲν τὸ πῦρ ὡς πᾶσιν ἐπιπολάζον, βαρύτατον δὲ ἡ γῆ ὡς πᾶσιν ὑποκείμενον. πᾶν δὲ σῶμα ἐν μὲν τῷ οἰκείῳ τόπῳ ἑστὼς οὔτε βαρύ ἐστιν οὔτε κοῦφον· ὅτε δὲ ἀποστῇ τῶν οἰκείων τόπων καὶ μέλλῃ πρὸς αὐτοὺς ἀπιέναι, τότε ἢ βαρύτητα ἴσχει ἢ κουφότητα.

---

90. 1: Plut., plac. I 17. — 2: ib. p. 315, 9.
91. 1: ib. I 24.
92. 1: ib. I 12. — 2: ib. p. 310, 9-10. — 8-12: p. 310, 19-20; 13-18.

---

90. AZ, SWH, PBC, VR 4 αὐτῶν-5 ἐπιφανείᾳ om SWH
91. AZ, *SWH, PBC, VR 2 μὲν om ZWHVR / καὶ om VR — 5 γινόμενον PC — 7 ἡμέτερον *S / καὶ φθορά om PBCVR — 9 φθορὰ ZSWHCVR — 11 φθαρὲν: φθειρόμενον SW
92. AZ, SWH, PB, VR 3 πόδα PBVR / τῆς om SW — 6 αἴρεται: φέρεται VR — 10 ἐστιν om PBVR / ὅταν SW — 11 μέλλει PBVR / βαρύτατον SW / ἔχει PBVR — 12 κουφότατον SW

93. Περὶ ἐλαχίστων. [68]

Ἐλάχιστα φασὶν οἱ φιλόσοφοι σωμάτια τινὰ ὧν οὐκ ἔστιν ἕτερα σμικρομερέστερα. καὶ ὑποτίθενται ἀμερῆ τινα, ἤτοι σμικρομερῆ, καὶ ἄογκα, ἤτοι σμικρομεγέθη, ἀρχὰς τῶν ὄντων· ἀρχὰς δὲ οὐ ποιητικάς, ἀλλ' ὑλικάς. λέγεται πάλιν ἐλάχιστον ἑτέρῳ λόγῳ· οἷον οἱ ἀριθμητικοὶ λέγουσιν ἀριθμοὺς διπλασίους καὶ τριπλασίους καὶ ἑτέρους τοιούτους, οἷον διπλάσιος λόγου χάριν ὁ η′ τοῦ δ′, καὶ τῶν β′ ὁ δ′, καὶ τοῦ α′ ὁ β′. τοῦ δὲ β′ πρὸς τὸ ἓν διπλασίου λόγου οὐκ ἔστιν ὑποδεέστερος ἕτερος. ἐλάχιστος οὖν διπλάσιος ὁ β′ πρὸς τὸ ἕν, καὶ ἐλάχιστος τριπλάσιος ὁ τρία πρὸς τὸ ἕν. λέγεται ἐλάχιστον καὶ τὸ κατ' εὐτελισμὸν λεγόμενον. ἀλλὰ κυρίως ἐλάχιστον κατὰ φιλοσόφους τὸ βραχύτατον σωμάτιον ὀνομάζεται.

94. Περὶ διαφορᾶς γνώσεων. [69]

Πρώτη ἐστὶ καὶ ὑψηλοτέρα τῶν γνώσεων ἁπασῶν ἡ τῆς προνοίας, ἥτις ἐστὶν ἐνέργεια τοῦ θεοῦ. ὁ τοίνυν θεὸς ὑπὲρ πάντα τὰ ὄντα ὢν καὶ ὑπὲρ αὐτὸν τὸν νοῦν ἔχων τὴν δύναμιν καὶ κυρίως ἓν ὑπάρχων, αὐτῷ δὴ τῷ ἑνὶ μόνῳ προνοεῖν λέγεται πάντων. δευτέρα δὲ ἐστὶ γνῶσις ἡ νοερὰ αὐτοῦ τοῦ παντελοῦς νοῦ ὁλικῶς τὰ πάντα νοοῦντος. τρίτη μετ' αὐτὴν γνῶσις ἡ τῆς λογικῆς ἡμῶν ψυχῆς, ἥτις διαιρεῖται εἰς δόξαν καὶ ἐπιστήμην· ἀλλ' ἡ μὲν δόξα τῶν κινουμένων ἐστὶ γνῶσις ἤτοι τῶν μεταβαλλομένων, ἡ δὲ ἐπιστήμη τῶν ἀκινήτων, οἷον ψυχῆς, νοῦ, καὶ τῶν τοιούτων. τετάρτη γνῶσις καὶ τελευταία ἡ τῆς ἀλόγου ψυχῆς ἡμῶν αἴσθησις ἢ φαντασία, μερικῶν πραγμάτων ἀντιλαμβανόμεναι.

95. Πῶς οὐκ ἀεὶ μετέχομεν τοῦ θεοῦ, ἀεὶ ἐνεργοῦντος αὐτοῦ. [70]

Οὐ μετέχομεν ἀεὶ τοῦ θεοῦ, εἰ καὶ ἀεὶ ἐνεργεῖ οὗτος, διὰ τὴν ἡμετέραν ἀνεπιτηδειότητα πρὸς τὴν μέθεξιν. ὥσπερ γὰρ τοῦ ἡλίου τὸ μεσημβρινὸν ἅπαντα καταλάμποντος οὐ πάντες εἰς αὐτὸν ἀτενίζειν δύνανται, ἀλλ' οἱ ἐρρωμένως τῶν ὀφθαλμῶν ἔχοντες· οὕτως οὐδὲ τοῦ θεοῦ πάντες μετέχειν δύνανται, κἂν ἐκεῖνος ὑπὲρ ἥλιον ἀεὶ τὸ νοητὸν φῶς ἐξαπλοῖ, ἀλλὰ μόνοι οἱ τὸ νοερὸν ὄμμα κεκαθαρμένον ἐν τῇ ψυχῇ φέροντες. κάμνει δὲ πολλάκις καὶ αὐτὸς ὁ καθαρὸς νοῦς πρὸς τὴν ἀντίληψιν τῶν θείων αὐγῶν, διότι οὐκ ἔστιν ἐλεύθερος, οὐδὲ παντάπασιν

---

93. 1: Plut., plac. I 13. — 3: ib. p. 312, 6-7.

94. 2-5: Procl., de decem dubit. 1, p. 79, 2-6 Cousin (1864). — 5-6: p. 78, 28-29; 36-38. — 6-9: p. 78, 18-21; 25-28. — 10-11: p. 78, 13-16.

95. 2-8: cf. ib. 3, p. 94; 4, p. 101; id., inst. theol. 140; 143; Olymp., in Phaed. p. 2, 5-7 Norvin. — 8-12: cf. Plot. VI 9[10], p. 522, 20-23 Volkmann.

---

93. AZ, SWH, PB, VR 2 ἐλαχίστης PB — 3 σμικρομερέστερα: σμικρότερα ZSWH — 4 μικρομεγέθη SWPB — 5 οἱ om AVR — 6 διπλασίους ἀριθμοὺς SWH — 7 τῶν: τοῦ SWB — 11 γενόμενον VR

94. AFD, SWH, PBC, VR 1 γνώσεως SWH γενέσεων PB — 6 παντελῶς PBCR — 7 αὐτῶν AFD — 9 νοῦ: καὶ νοῦ SWHVR — 11 ἢ: ἡ DV

95. AFD, SWH, PBC, VR 4 ἐνατενίζειν VR — 5 ἐρρωμένον τὸν ὀφθαλμὸν VR — 6 ὑπὲρ τὸν SW — 7 ἐν τῇ ψυχῇ κεκαθαρμένον SWH

ἄϋλος, ἀλλ' ἔνυλος καὶ σωματικός. ἔσται δὲ ὅτε, μετὰ τὴν ἀπὸ τοῦ σώματος ἀπόλυσιν καὶ τὴν ἐλπιζομένην ἀποκατάστασιν, διηνεκῶς ἐνατενίζει θεῷ.

96. Διατί ὅλως ἐστὶ τὸ κακόν. [XXV]

Τὸ κακὸν κυρίως οὐκ ἔστιν, ἀλλὰ στέρησις ἐστὶ τοῦ ἀγαθοῦ, ὥσπερ τὸ σκότος ἀπουσία καὶ στέρησις τοῦ φωτός. ὁ δὲ φιλόσοφος Πλάτων ἑτέρως τὸν λόγον βιάζεται, παρυφίστασθαι λέγων τὸ κακὸν διὰ τὴν τοῦ κόσμου τελειότητα. οἷον δέ ἐστι τὸ λεγόμενον, ἄκουε. εἰ τέλειος ἐστὶν ὁ κόσμος, οὐ τὰ ἄφθαρτα μόνον, ἀλλὰ καὶ τὰ φθαρτὰ πάροδον ἔσχεν εἰς τὸ εἶναι. τὸ δὲ παρὰ φύσιν ἐν τοῖς φθαρτοῖς ἐστὶ σώμασι καὶ ἐν ταῖς ἡμετέραις ψυχαῖς. εἰ οὖν ἐστὶ τὸ κακόν, ἵνα τὸ φθαρτὸν ᾖ· τοῦτο δέ, ἵνα μὴ μόνον ᾖ τὸ ἀΐδιον· τοῦτο δέ, ἵνα τέλειον ᾖ τὸ πᾶν· τοῦτο δὲ διὰ τὴν εἰς τὸν κόσμον πρόνοιαν· σαφέστατα δήπου δείκνυται διὰ τὴν πρόνοιαν εἶναι τὸ κακόν, ἵνα τελείως ᾖ πρόνοια, τέλειον ἀποφήνασα τὸν κόσμον.

97. Τελεώτερον περὶ τοῦ κακοῦ. [XXVI]

Οὔτε οἱ λέγοντες ἁπλῶς εἶναι τὸ κακὸν ἀληθεύουσιν οὔτε οἱ λέγοντες μὴ εἶναι, ἐκεῖνοι δὲ τὸ ἀκριβὲς φάσκουσιν οἱ λέγοντες πῇ μὲν εἶναι, πῇ δὲ μὴ εἶναι. διττὸν γάρ ἐστι τὸ κακόν, τὸ μὲν οὐδὲν ἕτερον ἢ μόνον κακόν, τὸ δὲ παρεμπλοκὴν ἔχον καὶ ἕνωσιν πρὸς τὸ ἀγαθόν. τὸ μὲν οὖν μόνως κακὸν ἐν τοῖς οὖσι πάροδον οὐκ ἔλαχε· πῶς γὰρ ἂν τῆς ἀγαθότητος πάντων αἰτίας οὔσης οὐσιωθῆναι δύναται τὸ κακόν; τὸ δὲ συμπεπλεγμένον μετὰ τοῦ ἀγαθοῦ ἔστιν ἐν τοῖς οὖσιν. οἷον ἡ ψυχὴ οὐ πάντοτε μετέχει τοῦ ἀγαθοῦ, ἀλλ' ἔστιν ὅτε οὐ μετέχει. αὐτὸ οὖν τὸ μὴ μετέχειν τοῦ ἀγαθοῦ κακόν ἐστιν· ἀλλ' οὐκ ἔστι κακὸν ἄκρατον, ἀλλὰ μεμιγμένον τῷ ἀγαθῷ. τῇ γὰρ μετοχῇ τοῦ ἀγαθοῦ ἀγαθῷ ὄντι πράγματι συμπλέκεται τὸ μὴ μετέχειν αὐτοῦ ἔστιν ὅτε, ὅπερ κακόν ἐστιν ἄντικρυς. διατοῦτο καὶ Πλάτων ἐν μὲν τῷ Τιμαίῳ κατὰ τὴν δημιουργικὴν βούλησιν ἀγαθὰ μὲν πάντα, φαῦλον δὲ μηδὲν εἶναι φησίν· ἐν δὲ τοῖς πρὸς τὸν γεωμέτρην λόγοις οὔ φησιν ἀπολέσθαι τὰ κακά, ἀλλ' ἐξ ἀνάγκης εἶναι· ὡς ἀκριβὴς τῷ ὄντι φιλόσοφος ἄνω μὲν περὶ τοῦ καθόλου κακοῦ λέγων, καὶ διατεινόμενος ὅτι οὐ συνεισῆλθε

---

96. 1: Procl., de decem dubit. 5, p. 104, 2-3. — 3-5 : p. 105, 7-8 (Pl., Tim. 30 C). — 5-7: Procl. p. 105, 5-6. — 7-8 : p. 104, 39-105, 2 ; cf. 104, 33-35. — 8-12 : p. 105, 10-17.
97. 3-8 : Procl., de mali subs. p. 207, 12-16. — 13-16 : p. 207, 34-208, 2 (Pl., Tim. 30 A ; Theaet. 176 A). — 19-22 : Procl. p. 208, 7-11; 15-17.

---

95. 10 ἔστι DSWPBC / ὅτε: ὁ SW / ἀπὸ AFD : om Ω — 10-11 τὴν ἀπόλυσιν τοῦ σώματος SW — 12 ἐνατενίζει AFDB -οι PC -ων S(W) ἀτενίζοι VR
96. AFD, SWH, PBC, VR 6 φθαρέντα VR — 7 τὸ²: τὰ AFD — 10 πρόνοιαν-τὴν om SWH — 11 πρόνοιαν-ᾖ om SH / τελέως PVR / τέλεον WPCVR
97. AF, SWH, PB, VR 6 πάραδον SH / ἄν: οὐ A οὖν F — 7 αἰτίας: οὐσίας PB — 10 τὸ: ὅτι PBVR / μετέχῃ PBR¹ — 12 συμπέπλεκται PBV — 14 φλαῦρον PB — 15 οὔ φασιν SWH — 17 συνδιατεινόμενος SW μὴ διατεινόμενος PB / συνῆλθε PBVR

τῷ βίῳ ἡ ἀμιγὴς κακία, κάτω δὲ περὶ τοῦ μερικοῦ κακοῦ καὶ τοῦ συμμεμιγμένου τῷ ἀγαθῷ φιλοσοφῶν. ἐπεὶ καὶ τὸ σκότος τὸ μὲν ἀμιγὲς πάντη καὶ φωτὸς ἄμοιρον οὐκ ἔστι, τὸ δὲ ὑπὸ τοῦ φωτὸς γενόμενον καὶ ὁριζόμενον τῶν ὄντων ἐστίν. ἔστιν οὖν τὸ κακὸν ἐν ἡμῖν τοῖς μὴ πάντη κατὰ τὸ ἀγαθὸν ἑστάναι δυναμένοις.

98. Εἰ ἔστι τὶ ἐν ἀγγέλοις κακόν. [71]

Ὁ μὲν θεολόγος Γρηγόριος ἐν τοῖς τοῦ Χριστοῦ γενεθλίοις βούλεται μὲν ἀκινήτους εἶναι τοὺς ἀγγέλους πρὸς τὸ κακόν· εἰδὼς δὲ τὸν διάβολον ἄγγελον μὲν ὄντα, κακὸν δὲ γεγονότα, δυσκινήτους αὐτοὺς ἀποφαίνεται. οἱ δὲ σοφώτεροι τῶν Ἑλλήνων ἐν προθύροις τοῦ θεοῦ τοὺς ἀγγέλους ἑστῶτας οἰόμενοι, ἀμετόχους αὐτοὺς τοῦ κακοῦ φασί. τοὺς γὰρ ἀπαγγέλλοντας τὴν θείαν σιγὴν καὶ τὸ ἀγαθὸν ἐκφαίνοντας πῶς ἄν φασιν εἶναι κακούς; ἀφομοιοῦσι γὰρ τὸ ἀγγελικὸν φῦλον τῷ θεῷ ἀφ' οὗ ἐξήρτηται, ἵνα διὰ τῆς ἀκραιφνοῦς ὁμοιότητος ἐκφαίνειν αὐτοῦ τοῖς ἀνθρώποις τὴν ἰδιότητα δύνηται. ἀγγέλους δὲ τὰς μετὰ θεὸν πάσας δυνάμεις κατονομάζουσιν.

99. Εἰ ἐν τόπῳ τὸ ἀσώματον. [72]

Ἐναντία εἰσὶ τὸ σῶμα καὶ τὸ ἀσώματον· εἰ οὖν τὸ σῶμα ἐν τόπῳ, τὸ ἀσώματον οὐκ ἐν τόπῳ. εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. οἷον εἰ τῷ σώματι ἐναντίῳ ὄντι τῷ ἀσωμάτῳ ἕπεται τὸ ἐν τόπῳ εἶναι, ἀκολουθεῖ πάντως τῷ ἀσωμάτῳ τὸ μὴ ἐν τόπῳ εἶναι. τὰ γὰρ κυρίως ἀσώματα κρείττονα παντὸς εἰσὶ τόπου, καὶ τοπικῶς οὐ πάρεισι τοῖς σώμασι, τῇ δὲ σχέσει πάρεισιν αὐτοῖς. οἷον τί λέγω· ἡ ψυχὴ καὶ μετὰ τὴν ἀπόλυσιν τὴν ἀπὸ τοῦ σώματος, εἰ μὲν καθαρῶς ἀπαλλαγῇ καὶ ἀπαθῶς, οὐκ ἔχει σχέσιν πρὸς τὸ σῶμα ὃ ἀπολέλοιπεν· εἰ δὲ ἐμπαθῶς, ἀγαπᾷ αὐτὸ καὶ διαλυθέν, καὶ ἡ ἀγάπη σχέσις ἐστὶ πρὸς αὐτό. καὶ ὑποστάσει μὲν καὶ οὐσίᾳ οὐ πάρεστι τὸ ἀσώματον τῷ σώματι, ῥέπει δὲ ὡς πρὸς αὐτὸ ὅταν βούληται.

---

98. 2-5: Greg. Naz., Or. 38[9], PGr. 36, 321 A. — 5-8: Procl., de mali subs. p. 212, 35-39. — 8-10: p. 213, 5-9.

99. 2-3: Porph., sent. 1. — 6: 2. — 6-7: 3. — 8-10: cf. Pl., Phaedo 80 E, 81 B. — 11-12: Porph. 4. — 12: 3.

---

97. 18 ἡ om PBVR — 20 οὐκ om VR — 22 ἑστάναι: εἶναι PB

98. AFD, SWH, PB, VR 1 Εἰ: τί AFD / τὶ: τὸ AFD — 6 ἀγγέλους: γράφουσιν καὶ ἔμπροσθεν αὐτοῦ add D — 7 θείαν: αὐτοῦ add PB — 10 δύνωνται SWH δύνανται R δύναται V

99. AFDN, SWH, PB, VR 3 τὸ[3]-4 ἐναντίῳ[1]: τῷ ἐναντίῳ τὸ ἐναντίον SWBVR — 5 ἀκολουθεῖ-6 εἶναι om AFP — 8 τὴν[1] om PBVR / τὴν ἀπὸ om AN — 9 οὐκ-10 ἐμπαθῶς om AFD — 11 ὑπόστασις AF / καὶ[2]: ἢ VR / τό: καὶ τὸ PB

100. Εἰ κακὸν ἡ ὕλη. [73]

Πλάτων ὁ φιλόσοφος ἐν μὲν τῷ Τιμαίῳ μητέρα καὶ τιθήνην τῆς τῶν καλῶν γενέσεως καὶ συναιτίαν τῆς τοῦ κόσμου δημιουργίας αὐτὴν ἀποφαίνεται· ἐν δὲ τοῖς τοῦ Ἐλεάτου ξένου λόγοις αἰτίαν αὐτὴν λέγει τῆς τοῦ παντὸς ἀταξίας· ἐν δὲ τῷ διαλόγῳ τῷ καλουμένῳ Φιλήβῳ ἀπὸ τοῦ θεοῦ καὶ ταύτην παράγων ἔνθεον αὐτὴν καὶ ἀγαθὸν διὰ τὴν ἀπὸ τοῦ θεοῦ γένεσιν ἀποφαίνεται. Πρόκλος δὲ ὁ φιλόσοφος οὔτε ἀγαθὸν αὐτὴν οἴεται οὔτε κακόν. ὡς μὲν γὰρ ἔσχατον τῶν ὄντων καὶ πόρρω τοῦ ἀγαθοῦ οὐκ ἀγαθὸν λέγει· ὡς δὲ αἰτίαν δημιουργικὴν ἐν τοῖς ἀγαθοῖς ἀναγκαζόμενος τιθέναι, μέσην αὐτὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ τιθεὶς ἀναγκαίαν ἐπονομάζει. τὸ γὰρ ἐνδεὲς αὐτῆς τῶν ἀγαθῶν συντελεῖν λέγει πρὸς τὴν τῶν αἰσθητῶν δημιουργίαν, ὅπερ ἀναγκαῖον ἐστίν.

101. Περὶ τῆς πρὸς τὸ θεῖον τῶν ὄντων ἐπιστροφῆς. [74]

Τῶν παρὰ τοῦ θεοῦ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντων τὰ μέν ἐστι μόνως ὄντα, ὡς τὰ ἄψυχα σώματα, τὰ δὲ καὶ ὄντα καὶ ζῶντα, ὡς τὰ ἔμψυχα σώματα, τὰ δὲ καὶ ὄντα καὶ ζῶντα καὶ νοοῦντα, ὡς αἱ ψυχαὶ καὶ οἱ νόες. ἕκαστον οὖν πρὸς τὸν θεόν, ἀφ' οὗ παρήχθη, κατὰ τὴν ἰδίαν ὕπαρξιν ἐπιστρέφει. τὸ μὲν οὖν ὂν οὐσιώδη ποιεῖται τὴν ἐπιστροφήν, τὸ δὲ ζῶν καὶ οὐσιώδη καὶ ζωτικήν, τὸ δὲ καὶ νοοῦν καὶ οὐσιώδη καὶ ζωτικὴν καὶ γνωστικήν. ἕκαστον γὰρ ὡς προῆλθεν, οὕτως καὶ ἐπέστραπται. τοῦτο δὲ τὸ φιλοσόφημα καὶ ὁ φιλόσοφος Πρόκλος ἐν τοῖς κεφαλαίοις αὐτοῦ τίθησι καὶ διευκρινεῖ, καὶ πρὸ τούτου ὁ Ἀρεοπαγίτης Διονύσιος σαφέστερον τούτου διακριβοῖ· καὶ ἔστιν ὁ λόγος τῶν πάνυ σπουδαζομένων, ἀληθέστατος τὲ καὶ ἀκριβέστατος ὤν.

102. Περὶ χρόνου. [75]

Ὁ χρόνος ἀνθρωπίνης ἐπινοίας ἐστὶ νόημά τε καὶ ὄνομα. ἐπειδὴ γὰρ

---

100. 2-4: Procl., de mali subs. p. 234, 1-4 Cousin (1864) (Pl., Tim. 49 A, 52 D, 88 D; 50 D; 46 C-D). — 4-5: Procl. p. 234, 7-9 (Pl., Polit. 273 B). — 5-7: Procl. p. 234, 13-19 (Pl., Phileb. 16 C, 23 C). — 7-8: Procl. p. 237, 5-6. — 8-9: p. 238, 24-26. — 11: p. 238, 28. — 11-13: p. 238, 9-11.

101. 2-9: Procl., inst. theol. 39. — 10-11: Dion. Areop., div. nom. 4[4], PGr. 3, 700 A-B.

102. 1: Plut., plac. I 21.

---

100. AFDN, SWH, PBE, VR 2 τῷ om SW / τιθηνὸν DVR — 3 κακῶν SH — 4 ἐλαιάτου AF ἐλαιώτου SW ἐλάτου PB / ξενολόγοις PB — 5 φιλήμω SW — 6 τοῦ om SW / παραγαγὼν AFD / ἀγαθὴν DNSWHB — 7 τοῦ om NSWEV (ante ἀπὸ F) / γέννησιν VR / ἀγαθὴν DNSWHB — 8 κακὴν DNSWHB / γὰρ om SW / ἐσχάτην DSW — 9 ἀγαθὴν DSWH — 10-11 τιθεὶς καὶ τοῦ κακοῦ SW — 11 ἀναγκαῖον f, Procl

101. AFDN, SWH, PBCE, VR 1 τῶν ὄντων om SH — 2 τοῦ[1] om AFDV — 3 μόνον N — 3 τὰ[2]-4 σώματα AFNBE: om Ω — 5 ὑφ' SW — 6 τὸ-7 ἐπιστροφήν om VR — 6 οὖν om NPB[C]E — 7 ζῶον AFDS[C]VR / καὶ[1] om PB / ζωτικόν EVR / καὶ[3] om SW / νοῦν VR — 8 καὶ ζωτικὴν om PB[C]EVR / γνωστικόν [C]EVR — 9 καὶ om NH — 11 τοῦτο SW

102. AZ, SWH, PBE, VR 2 ἐπινοίας ἀνθρωπίνης PBEVR

τὰ μὲν αἰώνια ἀεὶ ὄντα ἐστὶ καὶ ἀκίνητα, τὰ δ' ὑπὸ κίνησιν ῥέοντα καὶ φθειρόμενα, αὐτὸ δὴ τὸ μέτρον τῆς κινήσεως χρόνον ὠνόμασαν οἱ φιλόσοφοι. οὐδὲ γὰρ αὐθύπαρκτον πρᾶγμα ὁ χρόνος ἐστίν, οὐδὲ σῶμα φαινόμενον, οὐδὲ ἀσώματός τις ὑπόστασις, ὥσπερ ἡ φύσις καὶ ἡ ψυχὴ καὶ ὁ νοῦς, ἀλλὰ πρᾶγμα ἐν ἐπινοίᾳ μόνῃ κείμενον. ἡ τοίνυν ψυχὴ ἑνωθεῖσα μὲν τῷ κρείττονι ἐν τῷ ἑστῶτι αἰῶνι ἐστίν, ἀφειμένη δὲ τοῦ αἰῶνος καὶ περί τι πρᾶγμα τῆς γενέσεως κινηθεῖσα χώραν τῷ χρόνῳ δίδωσιν. οὐδὲν οὖν ἕτερον ἐστιν ὁ χρόνος ἢ μέτρον κινήσεως.

103. Περὶ κινήσεως. [76]

Δυσκατανόητόν τι πρᾶγμα ἡ κίνησις. ἔστι δὲ εἶδος τὶ καὶ ἐνέργεια κινουμένου πράγματος καθ' ὃν χρόνον κινεῖται. οἷον τὶ λέγω, ἔστι τὶ πρᾶγμα αὐξανόμενον καὶ ἄλλο ἀλλοιούμενον καὶ ἄλλο φερόμενον· καὶ τοῦ μὲν αὐξανομένου κίνησις ἡ αὔξησις, τοῦ δὲ ἀλλοιουμένου ἡ ἀλλοίωσις, τοῦ δὲ φερομένου ἡ φορά, καὶ ὅλως τοῦ γινομένου ἡ γένεσις. ἔστιν οὖν ἡ κίνησις οὔτε ἀρχὴ οὔτε τέλος, ἀλλὰ τὸ μεταξὺ τούτων. τῆς γὰρ οἰκοδομήσεως οὔτε ἡ ἀρχὴ κίνησις, οὔπω γάρ τι κεκίνηται· οὔτε τὸ τέλος, πέπαυται γὰρ τὸ οἰκοδομηθέν· τὸ δὲ ἐν μέσῳ τούτων, οἷον ἡ οἰκοδόμησις, τοῦτο κίνησις ἐστίν. ὅπερ δὴ καὶ ἐντελέχειαν Ἀριστοτέλης ὠνόμασεν.

104. Περὶ ἀνάγκης. [77]

Ἀνάγκην ὀνομάζουσιν οἱ φιλόσοφοι δύναμιν τινὰ ἀναγκαστικὴν τοῦ ἀποτελέσματος. οἷον τὶ λέγω· ἡ ἀστρολογία τῶν ἀστρῴων σχημάτων ἐξήρτηται καὶ τῶν ὑψωμάτων καὶ τῶν φάσεων καὶ τῶν οἰκοδεσποτειῶν καὶ τῶν ἄλλων. ὅταν οὖν συνδράμῃ πάντα πρὸς τὸ γενέσθαι τὶ ἢ μὴ γενέσθαι καὶ μηδέν τι ᾖ ἀντιπίπτον ἢ ἀντικείμενον, ἀνάγκην τοῦτο εἰρήκασιν ὡς ἀπαραίτητόν τε καὶ ἀμετάθετον. τὸ δὲ ἐν μερικοῖς σημείοις τὴν δύναμιν ἔχον, τοῦτο ἐνδεχόμενον ἀπεφήναντο ὡς δυνάμενον καὶ γενέσθαι καὶ μὴ γενέσθαι. κυρίως δὲ ἐνδεχόμενον ἐστὶ τὸ ὑπὸ τὴν ἡμετέραν προαίρεσιν κείμενον καὶ τὴν ἐφ' ἑκάτερα ῥοπὴν ἴσην καὶ ὁμοίαν δεχόμενον.

105. Περὶ εἱμαρμένης. [78]

Τὴν εἱμαρμένην εἴ τις γνοίη σὺν ἀκριβείᾳ, καὶ ὅθεν καὶ ὁποία τὴν

---

103. 1: Plut., plac. I 23. — 4-6: Ar., phys. III 1, 201 a 11-15. — 7-10: cf. Ar. 201 b 8-13. — 10-11: Plut. p. 319, 3 Diels (Ar. 201 a 10-11).

104. 1: Plut., plac. I 25.

105. 1: ib. I 27. — 5-11: cf. Procl., de prov. et fato p. 155, 29-156, 7; 153, 35-39; 157, 30-32 Cousin (1864); Psell., PGr. 122, 1145 C 10-D 3.

---

102. 3 καὶ ἀκίνητά ἐστι PBEVR — 5 σῶμα: πρᾶγμα SWH — 7 ἐν om VR

103. AZ, SWH, PBE, VR 5 ἡ¹: ἢ BV / ἡ² om VR — 8 ἀρχὴ: τί add PV τις R ἐστι B / τι AS: om Ω — 9 τὸ οἰκοδομηθὲν: τοῦ οἰκοδομήματος PB — 10 ἐνδελέχειαν VR

104. AZ, WH, PBE, VR 4 φύσεων WHE — 6 ᾖ om PB — 9 καὶ¹ om PB / καὶ μὴ γενέσθαι om VR

φύσιν, μερίδα πρὸς φιλοσοφίαν μεγίστην προσείληφε. παρὰ μὲν γὰρ τοῖς πολλοῖς ἀτιμάζεται τοὔνομα, παρὰ δὲ τοῖς σοφωτέροις θαυμάζεται. ἔστι δὲ γενικῶς μὲν εἰπεῖν ἡ φύσις τοῦ κόσμου ἡ κινοῦσα τὰ σώματα· κατὰ μέρος δὲ δευτέρα τὶς προνοίας ἔλλαμψις καὶ ἐπιστασία, οὐ κατ' εὐθεῖαν τὴν κίνησιν ἔχουσα, ὥσπερ ἡ κυρίως ἐστὶ πρόνοια, ἀλλὰ δεομένη καιρῶν καὶ χρόνων καὶ τόπων εἰς ἀποτέλεσμα. ὅθεν καὶ εἱμαρμένη λέγεται ὡς εἱρομένη τὶς φύσις καὶ συμπεπλεγμένη διὰ πολλῶν. τὰ μὲν οὖν ἀσώματα ὑπὸ πρόνοιαν ἐστὶ μόνην, τὰ δὲ σώματα ὑπὸ πρόνοιαν καὶ εἱμαρμένην.

106. Περὶ τύχης καὶ αὐτομάτου. [79]

Τὴν τύχην οὐχ', ὡς νομίζουσι τινές, οἱ ἀκριβέστεροι τῶν φιλοσόφων ἐδέξαντο οἷον ἄλογον τινὰ φύσιν καὶ μὴ ἔχουσαν τάξιν μηδὲ εἱρμόν, ἀλλὰ παρακολούθημα ταύτην ἀόριστον ἐν τοῖς κατὰ προαίρεσιν καὶ ἕνεκα τινὸς γινομένοις ὡρίσαντο. οἷον προελήλυθέ τις ἐκ τῆς οἰκίας λουσόμενος· αὕτη ἡ πρόοδος ἐκ προαιρέσεως καὶ ἕνεκα τινὸς πράγματος, τουτέστι τοῦ λούσασθαι. εἶτα προερχόμενος ἐνέτυχε θησαυρῷ· τὴν οὖν αἰτίαν τῆς εὑρέσεως τοῦ θησαυροῦ τύχην ὠνόμασαν οἱ σοφοί. τὸ μέντοιγε αὐτόματον καὶ ἐν τοῖς λογικοῖς καὶ ἐν τοῖς ἀλόγοις τιθέασιν· ἐν μὲν τοῖς λογικοῖς, ὅταν μαχαιρίδιον ἀπό τινος κρατοῦντος ἐκπεπτωκὸς κατ' ὀρθὸν ἐμπαγείη τῇ γῇ· ἐν δὲ τοῖς ἀλόγοις, ὅταν τὶς ἵππος ἐν πολέμοις τὸν δεσπότην ἀποβαλὼν ἀπὸ ταὐτομάτου διασωθείη.

107. Περὶ αἰῶνος καὶ χρόνου. [80]

Τῶν ὄντων τὰ μὲν καὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν ἔχει αἰώνιον, οἷον ὁ νοῦς· τούτου γὰρ καὶ ἡ οὐσία ἀκίνητος καὶ ἡ ἐνέργεια ἀμετάβατος, ὁμοῦ γὰρ ἔχει ἐν ἑαυτῷ πάντα. τὸ δὲ σῶμα καὶ τὴν οὐσίαν ἔγχρονόν ἐστι καὶ τὴν ἐνέργειαν· οἷον τὸ ἡμέτερον σῶμα καὶ τὴν οὐσίαν ἔγχρονον ἔχει, κατὰ μικρὸν γὰρ αὐξάνεται, καὶ τὴν ἐνέργειαν, οὐ γὰρ ὁμοῦ ἐνεργεῖ πάντα. ἡ δὲ ψυχὴ κατὰ μὲν τὴν οὐσίαν αἰώνιος ἐστίν, οὐδὲ γὰρ κατὰ μικρὸν αὐξηθεῖσα ἐγένετο ψυχή, ἀλλ' ἐξ ἀρχῆς τελεία γεγένηται· κατὰ δὲ τὴν ἐνέργειαν χρόνου μετέχει, οὐ γὰρ ὁμοῦ ἔχει πάντα τὰ νοήματα ἐν ἑαυτῇ, ἀλλ' ἀφ' ἑτέρου μεταβαίνει εἰς ἕτερον. καὶ ὁ οὐρανὸς δὲ τοιοῦτος ἐστίν, αἰώνιος μὲν κατὰ τὴν οὐσίαν, κατὰ δὲ τὴν κίνησιν ὑπὸ χρόνον καὶ αὐτὸς κείμενος.

---

106. 1: Plut., plac. I 29. — 4-5: ib. p. 324, 9-10; 325, 1-3 Diels (Ar., phys. II 5, 197 a 5-6). — 9-10: Plut. p. 325, 9-10. — 11-12: cf. Ar., phys. 197 b 15-16.
107. 2: cf. Procl., inst. theol. 104. — 3-4: cf. 169. — 4-7: cf. 106. — 7-11: cf. 191.

---

105. AZ, WH, PBE, VR 3 μεγίστην ante μερίδα W / μετείληφε W — 5 μὲν om VR — 6 τὶς: τῆς WH — 8 καὶ χρόνων om PBEVR — 10 μόνον WH — 11 καὶ ὑπὸ πρόνοιαν καὶ ὑπὸ W

106. AZN, S* WH, PBE, VR 1 τύχης καὶ om SWH — 5 γενομένοις (N)PBVR — 7 ἔτυχε PBEVR / θησαυροῦ BR — 8 θησαυ S* / φιλόσοφοι NPBR — 9 καὶ²-10 λογικοῖς om WH — 11 ἐμπαγῇ N / τὶς om WH — 12 ἐν πολέμοις om PBEVR / πολέμῳ WH

107. A* FDN, SWH, PBE, VR 3 οὐσία A* — 5 τὸ: καὶ τὸ P[B]EVR — 6 κατὰ: καὶ κατὰ VR / γὰρ om VR — 7 δὲ: γὰρ PBEVR / ψυχὴ δὲ FD — 8 οὐδὲ: οὐ FD / ἡ ψυχὴ FD — 9 γεγένηται: ἐγένετο FD — 10 πάντα ἔχει (N)E / ἀφ': ἐφ' DV — 12 καὶ αὐτὸς ὑπὸ χρόνου N

108. Περὶ τῶν πέντε αἰσθήσεων. [81]

Ἡ ὅρασις γίνεται ὅταν τὸ ἀπὸ τῶν ὀφθαλμῶν φῶς ἐκφερόμενον συναντήσῃ τῷ ἀπὸ τῶν σωμάτων ἀπορρέοντι, ὅπερ ὁ Πλάτων ὀνομάζει συναύγειαν. ἀκούομεν δὲ τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός, τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος ἐμβολήν. ὀσφραινόμεθα δὲ τῷ ἡγεμονικῷ τῷ ὄντι ἐν τῷ ἐγκεφάλῳ, ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. γευόμεθα δὲ τῇ ἀραιότητι τῆς γλώττης καὶ τῇ μαλακότητι καὶ διὰ τὸ συνάπτειν τὰς ἀπὸ τοῦ σώματος εἰς αὐτὴν φλέβας τὴν φύσιν. ἡ δὲ φωνὴ πνεῦμα ἐστὶ διὰ τοῦ στόματος ἀπὸ διανοίας ἠγμένον. ἀπτόμεθα δὲ ὅλῳ τῷ σώματι, διότι ἀποπερατώσεις εἰσὶν ἐν τῇ ἐπιφανείᾳ τοῦ σώματος μορίων αἰσθητικῶν, δι' ὧν αἰσθανόμεθα ὧν ἀπτόμεθα.

109. Εἰ ἀληθὲς τὸ καταβασκαίνεσθαι τινὰς ὑπὸ τῶν ὁρώντων. [82]

Οὐ ψεῦδος ἐστὶ τὸ καταβασκαίνεσθαι τινὰς καὶ μαραίνεσθαι ὑπὸ τῆς τῶν ὁρώντων ὄψεως. πολυκίνητος γὰρ ἡ ὄψις οὖσα μετὰ πνεύματος αὐγὴν ἀφιέντος πυρώδη θαυμαστήν τινα διασπείρει δύναμιν, ὥστε πολλὰ καὶ πάσχειν καὶ ποιεῖν δι' αὐτῆς τὸν ἄνθρωπον. καὶ τῶν ἐρωτικῶν, ἃ δὴ μέγιστα καὶ σφοδρότατα παθήματα τῆς ψυχῆς ἐστίν, ἀρχὴν ἡ ὄψις ἐνδίδωσιν, ὥστε ῥεῖν καὶ λείβεσθαι τὸν ἐρωτικόν, ὅταν ἐμβλέπῃ τοῖς ἀγαθοῖς καὶ καλοῖς. τὸ γὰρ διὰ τῶν ὀμμάτων ἐκπίπτον εἴτε φῶς εἴτε ῥεῦμα τοὺς ἐρῶντας ἐντήκει καὶ ἀπόλλυσι, τοιαύτη γίνεται διάδοσις καὶ ἀνάφλεξις ὑπὸ τῆς ὄψεως. αἱ γὰρ τῶν καλῶν ὄψεις, κἂν πάνυ πόρρωθεν ἀντιβλέπωσι, πῦρ ἐν ταῖς τῶν ἐρωτικῶν ψυχαῖς ἀνάπτουσι· καὶ τὸ σῶμα δὲ τῶν ἐρωμένων καὶ ὁρωμένων βλάπτεται ἐν ταῖς τοιαύταις ἀποφοραῖς.

110. Πῶς αἱ συλλήψεις γίνονται. [83]

Ἡ σύλληψις τῶν ζώων γίνεται, καὶ μάλιστα τῶν ἀνθρώπων, ὅταν ἐπιτήδειος καὶ ξηροτέρα συμμέτρως ἡ μήτρα γένηται πρὸς τὴν παραδοχὴν τοῦ σπέρματος, τῶν καταμηνίων συνεπισπωμένων ἀπὸ τοῦ

---

108. 1: Plut., plac. IV 13; 16-19. — 2-4: ib. p. 404, 7-15 Diels. — 4-5: p. 406, 21-24. — 5-7: p. 407, 2-4. — 7-8: p. 407, 15-18. — 9: p. 407, 22-408, 1.

109. 3-8: Plut., qu. conv. V 7, p. 200, 19-201, 2 Bernardakis. — 8-12: p. 201, 7-8; 12-13; 16-18.

110. 1: Plut., plac. V 6. — 4-5: ib. p. 419, 1-4 Diels. — 5-8: ib. V 5, p. 418, 10-13. — 8-13: p. 418, 20-22.

---

108. AFD, PBCE, VR 2 τὸ om AFD — 3 συρρέοντι PBCEVR — 6 διά: δὲ διὰ PBCEV — 9 ἀπὸ τῆς AFD / διανοίας: ἀρτηρίας A — 10 ἐν-11 αἰσθητικῶν om VR — 11 τοῦ: τῶν τοῦ PB

109. AFD, SH, PB, VR 1 ἀληθῶς SV — 4 αὐγὴν AFD, Plut: αὐτὴν Ω — 5 πολλὰ καὶ πάσχειν: πολλάκις κατασχεῖν AF — 5-6 τῶ ἐρωτικῶ AFD — 7 δίδωσιν AFD — 9 ὁρῶντας PBR / ἐντήκει PB, Plut: ἐκτήκει Ω — 10 αἱ: καὶ SH — 11 ἀποβλέπωσι AFD / ζωτικῶν SH — 12 καὶ ὁρωμένων om AFD — 13 ἀναφοραῖς AFD ἐπιφοραῖς PB

110. F, SWH, PBCE, VR 2 αἱ συλλήψεις F / γίνονται F — 3 ἐπιτηδεία SW(B) / καί: ἢ F — 4 τοῦ^2 om EVR — 5 μέρους EVR

παντὸς ὄγκου μέρος τὶ τοῦ καθαροῦ αἵματος. συμβάλλεται δὲ καὶ τὸ θῆλυ πρὸς τὴν κύησιν ἐξυγραινομένη τὴν μήτραν ἐν ταῖς μίξεσιν· ἡ δὲ ὑγρασία αὕτη σπέρματος μὲν οὐκ ἔχει λόγον, οἷον δὲ ὕλη γίνεται τῇ καταβολῇ τῆς ἀνδρῴας γονῆς. καὶ τὸ μὲν τοῦ ἄρρενος σπέρμα εἰς τὰ στερεώτερα μέρη τοῦ σώματος ἐξαρκεῖ, οἷον ὀστᾶ καὶ νεῦρα καὶ φλέβας καὶ ἀρτηρίας καὶ τὰ τοιαῦτα· τὸ δὲ τοῦ θήλεος εἰς τὰ ὑγρότερα μέρη τοῦ σώματος, αἷμα φημὶ καὶ ἀμφοτέρας τὰς χολάς. ἢ μᾶλλον πάντα ἐξ ἀμφοτέρων, ἀλλὰ τὰ μὲν τοῦ ἄρρενος πλέον ἔχει, τὰ δὲ τοῦ θήλεος.

111. Πῶς ἄρρενα καὶ θήλεα γίνεται. [XXVII]

Ὥσπερ τῶν ὄρχεων ὁ μὲν ἐστὶ δεξιός, ὁ δὲ ἀριστερός, καὶ ὁ μὲν δεξιὸς μᾶλλον ἐστὶ θερμότερος, ὁ δὲ ἀριστερὸς ἧττον· οὕτως καὶ ἡ μήτρα δύο ἔχει κόλπους ὑποδοχέας τοῦ ἀρρενικοῦ σπέρματος, τὸν μὲν δεξιόν, τὸν δὲ ἀριστερόν. ἐπεὶ οὖν τὸ ἄρρεν θερμότερόν ἐστι τοῦ θήλεος, τὸ μὲν ἐμπεσὸν σπέρμα εἰς τὸν δεξιὸν κόλπον ἄρρεν γίνεται διὰ τὴν θερμότητα, τὸ δὲ εἰς τὸν ἀριστερὸν θῆλυ διὰ τὴν ψυχρότητα. ὅταν δὲ τὸ ἐμπεσὸν σπέρμα εἰς τὸν δεξιὸν κόλπον θῆλυ γένηται, ἀρρενωπότερον πλάττεται καὶ τρίχας ἐν τῷ πώγωνι φύει· ἡνίκα δὲ τὸ ἐμπεσὸν εἰς τὸν ἀριστερὸν ἄρρεν ἀποκαταστῇ, θηλυπρεπέστερόν ἐστι καὶ τοῦ δέοντος μαλακώτερον. εὕρηνται δὲ τοιαῦται μεταβολαὶ ἀνδρῶν τε καὶ γυναικῶν.

112. Διατί γυνὴ πολλάκις συνουσιάζουσα οὐ συλλαμβάνει. [XXVIII]

Διὰ πολλὰς αἰτίας οὐ συλλαμβάνει γυνὴ συνουσιάζουσα· ὅταν ἢ θερμοτέρα ᾖ τοῦ δέοντος ἢ ψυχροτέρα ἢ ξηροτέρα ἢ ὑγροτέρα· ἢ ὅταν παραλελυμένα ἔχῃ τὰ μόρια· ἢ ὅταν τύλους ἔχῃ καὶ σαρκώσεις· ἢ ὅταν ἀραιοτέρα ᾖ τοῦ κατὰ φύσιν καὶ μικροτέρα. καὶ παρὰ τὴν τοιάνδε κρᾶσιν τοῦ ἀρρενικοῦ σπέρματος οὐ δύναται συλλαβεῖν· καὶ παρὰ τὴν τοῦ ἀρρενικοῦ αἰδοίου ἀσυμμετρίαν, οἷον ἢ λόξωσιν, μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν, ἢ ἀπόστασιν, ἢ παρέγκλισιν· καὶ δι᾽ ἀρρωστίαν δὲ ἐπισυμβᾶσαν καὶ διάθεσίν τινα οὖσαν ἀπὸ γενέσεως. καὶ ἄλλάττα εἰσὶν αἴτια τοῦ μὴ κύειν τὰς μιγνυμένας ἄρρεσι τῶν γυναικῶν. καὶ διὰ τέχνην δὲ πολλάκις τὸ ἀσύλληπτον γίνεται, ὅταν ἐξεπίτηδες ἢ ὁ ἀνὴρ ἢ ἡ γυνὴ περὶ τὴν φύσιν τοῦ σπέρματος πανουργεύωνται· ἔστι γὰρ καὶ τοιοῦτον εἶδος ἐν τοῖς αἰτίοις.

---

111. 1: ib. V 7. — 5-11: cf. ib. p. 420, 1-9.
112. 1: ib. V 9. — 2-8: ib. p. 421, 12-14 ; 20-22 ; 15-18.

---

110. 6 κίνησιν S^{1}H / ἐξυγρενομένης τῆς μήτρας F — 8 εἰς: ἐκ SH — 9 στερεὰ F — 10 θήλεως BV — 13 θήλεος: ἔλαττον add R

111. F, SWH, PBCE, VR 1 γίνονται F — 3 ἐστὶ om VR — 4 κόλπους ἔχει SW — 5 τὸ-ἐστι: θερμότερον ἐστὶ τὸ ἄρρεν E θερμόν ἐστι τὸ ἄρρεν μᾶλλον PBC θερμόν ἐστι τὸ ἄρρεν VR — 6 ἐπεισπεσὸν F — 7 τὴν om F — 8 θῆλυ γένηται om SH / γίνεται FB — 9 πλάττεται: γίνεται PBCEVR / τὸ: τὸ μὲν SW / ἐμπεσὸν σπέρμα EVR

112. F, SWH, PBCE, VR 3 ἢ ξηροτέρα om PBC[R] / ἢ^4: καὶ F — 4 ἔχῃ^1: ἔχει FPCVR^1 / ἢ^1-σαρκώσεις om PB / ἢ^2: καὶ F — 5 καὶ^1: ἢ SWH / μακροτέρα F — 6 σπέρματος-7 ἀρρενικοῦ om SWH — 8 ἀρρωστίας PBCR — 9 ἐπισύμβασιν PBCEVR — 10 ἄρρεσι om SW — 11 τὸ: καὶ τὸ CE

113. Διατί δίδυμα καὶ τρίδυμα γίνεται. [XXIX]

Καὶ τοῦ δίδυμα καὶ τρίδυμα γίνεσθαι πολλὰς ἄν τις αἰτίας διαριθμήσηται· τὴν σχίσιν τοῦ σπέρματος, τὴν γονιμότητα τῆς γονῆς, τοὺς ἐν τῇ μήτρᾳ κόλπους. διάφοροι γὰρ κοιλότητες τὴν μήτραν περιειλήφασιν· ὅταν γοῦν ἐν τοῖς κόλποις τούτων τὸ σπέρμα διασχισθῇ, δίδυμα καὶ τρίδυμα γίνεται. καὶ τὸ πλῆθος δὲ τοῦ ἀπορρέοντος σπέρματος αἴτιον πολλάκις τοῦ πλήθους τῶν ἐγκυμονουμένων καθίσταται. ἡ μέντοιγε μήτρα πολλοὺς μὲν ἔχει κόλπους, δύο δὲ ἀξιολόγους κοιλότητας ὑμένι μέσῳ διειργομένας, ἐν αἷς ὅταν ἐμπέσῃ τὸ σπέρμα δίδυμα καρπογονεῖ ἔμβρυα. ὁ μέντοιγε Ἐρασίστρατος καὶ τὰς ἐπισυλλήψεις αἰτιᾶται ὥσπερ ἐπὶ τῶν ἀλόγων ζώων. καὶ ἄλλας δ' ἂν εἴποι τὶς αἰτίας, ἢ αὐτὸς ἐφευρίσκων ἢ τοῖς ἀρχαίοις ἑπόμενος.

114. Πόθεν γίνονται τῶν γονέων αἱ ὁμοιώσεις καὶ αἱ πρὸς τούτους ἀνομοιότητες. [84]

Τὸ ἀποκρινόμενον σπέρμα ἢ ἀπὸ τοῦ ἀνδρὸς ἢ ἀπὸ τῆς γυναικός· τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς λόγους ἔχει τῶν ἐν αὐτῷ ἠθῶν καὶ τρόπων καὶ τῆς μορφῆς, καὶ τὸ ἀπὸ τῆς μητρὸς δὲ ὡσαύτως. ὅταν οὖν ἄμφω τὰ σπέρματα συγκραθῇ, εἰ μὲν ἐπίσης, ἔχει τὸ γεννώμενον ἴσην καὶ πρὸς τὸ ἄρρεν καὶ πρὸς τὸ θῆλυ τὴν ὁμοιότητα· ὅταν δὲ τὸ ἄρρεν κατακρατήσῃ τοῦ θήλεος, πατρόμοια τὰ τικτόμενα ἀποτελεῖται· ὅταν δὲ τὸ θῆλυ τοῦ ἄρρενος, ἀπεικασμένα πρὸς τὴν μητέρα. ὅταν δὲ ἡ ἐν τῷ σπέρματι θερμασία ἐξατμισθῇ, οὐδενὶ τῶν τοκέων τὸ πλαττόμενον ὁμοιοῦται. πολλάκις δὲ καὶ τῆς γυναικὸς φαντασίαν ἐν τῷ τίκτειν λαβούσης τοῦδε ἢ τῆσδε, πρὸς τὸ φαντασθὲν ἀπεικάζεται τὸ γεννώμενον.

115. Εἰ τὸ ἔμβρυον ζῶον καὶ πῶς τρέφεται τοῦτο. [XXX]

Τρισὶν ἐνέτυχον μονοβίβλοις περὶ τούτου τοῦ ζητήματος, Ἱπποκράτους, Πορφυρίου καὶ Γαληνοῦ. ὧν ὁ μὲν Ἱπποκράτης καὶ Γαληνὸς ζῶον αὐτό φασιν ἐν τῇ γαστρὶ εἶναι, καὶ κινεῖσθαι ὑπὸ ψυχῆς τὸ μὲν ἄλογον

---

113. 1: Plut., plac. V 10. — 3: ib. p. 421, 26-27. — 4-6: p. 422, 8-12. — 10-11: p. 422, 4-5.

114. 1-2: ib. V 11. — 3-5: cf. ib. p. 422, 24-423, 2. — 7-9: p. 423, 6-8. — 9-11: p. 422, 18-19. — 11-13: ib. V 12, p. 423, 17-19.

115. 1: ib. V 15; 16. — 2-3: cf. Hippocr., de nat. inf. 21 (VII 510 Littré). — 3: Ps.-Gal. (Porph.), ad Gaurum, ed. Kalbfleisch (Berol. 1895); Ps.-Gal., εἰ ζῶον τὸ κατὰ γαστρός (XIX p. 166 Kühn). — 5-7: Plut. p. 426, 17-22. — 8-9: Ps.-Gal., ad Gaur. 10^{1}. — 9-10: $7^{1,3}$. — 11-12: 10^{3}. — 12-13: Plut. p. 426, 23-25.

---

113. F, SWH, PBCE, VR 2 τοῦ: τὰ PB / καὶ²: δὲ καὶ PC — 3 σχίσιν SWH: σχέσιν Ω — 4 τῇ om SW — 5 διασχισθὲν F διασχεθῇ S διαχεθῇ HC — 7 ἐγκυουμένων F ἐγκυμονούντων PBEVR — 9 μέσον F — 11 δ' om CE / εἴπῃ CE

114. FD, SWH, PBCE, VR 2 τούτοις VR — 3 τὸ μὲν FD — 4 συλλόγους SW / καὶ¹: τε καὶ PB — 5 τὸ [F]DW: om Ω / τῆς² om PCEVR — 6 ἶσον FD / καὶ om SW — 10 τὸ om PBCEVR — 11 φαντασίας FB

115. FD, SWH, PBCE, VR 1 τὸ: καὶ τὸ PBCEVR — 2 τισὶν FD / ἐνετύχομεν βίβλοις PBCEVR — 3 καὶ²: καὶ ὁ SW — 4 εἶναι ἐν τῇ γαστρὶ DPBCEVR

τῆς ἀλόγου, τὸ δὲ λογικὸν τῆς λογικῆς· τρέφεσθαί τε ἐν τῇ μήτρᾳ διὰ τοῦ στόματος, εἶναι γὰρ ἐν ταύτῃ θηλὰς τινὰς καὶ στόματα δι' ὧν τρέφεται. ὁ δέ γε Πορφύριος πολλοῖς λογισμοῖς καὶ ἀποδείξεσι διατείνεται μὴ εἶναι τὸ ἔμβρυον ζῷον μηδὲ ἐμψυχωμένον, ἀλλὰ δίκην φυτοῦ καταπεφυτεῦσθαι ἐν τῇ μήτρᾳ, καὶ κινεῖσθαι οὐχ' ὑπὸ ψυχῆς, ἀλλ' ὑπὸ φύσεως, ὥσπερ δὴ καὶ τὰ δένδρα καὶ τὰ φυτὰ κινεῖσθαι εἴωθε. τρέφεσθαί τε οὐ διὰ τοῦ στόματος, ἀλλὰ διὰ τοῦ χορίου καὶ τοῦ ὀμφαλοῦ· ὅθεν τοῦτον εὐθέως ἀποδεσμοῦσιν αἱ μαῖαι, ἵνα διὰ τοῦ στόματος τὸ γεννηθὲν τρέφηται.

116. Πῶς ὄνειροι γίνονται. [85]

Πολλαὶ τῶν ὀνείρων εἰσὶν αἱ αἰτίαι. οἱ μὲν γὰρ αὐτῶν εἰσὶ θεόπνευστοι ἄνωθεν διὰ μέσου τοῦ νοῦ τῇ λογικῇ ψυχῇ ἡμῶν ἐγγινόμενοι· οἱ δὲ οἷον ἀπηχήματα εἰσὶ τῶν ἡμερινῶν πράξεων· οἱ δὲ ἀπὸ τῆς φανταστικῆς ἐντυποῦνται δυνάμεως, φανταζούσης ἡμῖν τοὺς ἡμερινοὺς ἔρωτας ἢ ἄλλό τι πάθος ψυχῆς. ἕτεροι δὲ ἀπὸ τῶν τεσσάρων χυμῶν ἀνεγείρονται, ὅθεν καὶ τὰ χρώματα τῶν ὁρωμένων ὅμοια τοῖς τῶν χυμῶν ἔχουσιν. οἱ δὲ τὰς ἰδέας ἡμῖν ἐμφαίνουσι τῶν τεχνῶν καὶ τῶν ἐπιτηδευμάτων περὶ ἃ τὴν πραγματείαν ἔχομεν· φιλόσοφα γοῦν τῷ φιλοσόφῳ τὰ ὀνείρατα, καὶ τῷ ῥήτορι ῥητορικά, καὶ τῷ γεωμέτρῃ γεωμετρικά. οὐ μία οὖν αἰτία τῶν ὀνειράτων, ἀλλὰ πολλαί, ὡς εἴρηται.

117. Περὶ ὑγείας καὶ νόσου καὶ γήρως. [86]

Ὑγείας αἴτιον συνεκτικὸν ἡ τῶν δυνάμεων ἰσονομία, θερμότητος, ψυχρότητος, ὑγρότητος, ξηρότητος· ὅταν δὲ τούτων ἓν καταδυναστεύσῃ τῶν ἄλλων, ἡ νόσος γίνεται. αἱ δὲ πλεῖσται τῶν νόσων δι' ἀνωμαλίαν τῶν ἐν τῷ σώματι στοιχείων γίνονται. ἐπεισάγονται δὲ αἱ νόσοι τῷ σώματι καὶ διὰ πλῆθος τροφῆς καὶ διὰ ἀπεψίας καὶ φθορᾶς· ἡ δὲ εὐταξία καὶ ἡ αὐτάρκεια ὑγείας περιποιητικά. μορφοῦται δὲ τὰ ζῷα ἐν γαστρὶ ὄντα ἀπὸ ς' καὶ λ' ἡμέρας, τελειοῦται δὲ τοῖς μορίοις ἀπὸ τῆς ν'. Ἱπποκράτης δὲ ἐπὶ μὲν τῶν ἀρρένων διὰ τὸ θερμότατα εἶναι τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ τῆς ς' καὶ κ', ἐπὶ δὲ τῶν θηλυκῶν ἐν διμήνῳ μὲν διαρθροῦσθαι, ἐν τετραμήνῳ δὲ τελειοῦσθαι.

---

116. 1: Plut., plac. V 2. — 2-3: ib. p. 416, 14-15.
117. 1: ib. V 30. — 2-4: ib. p. 442, 3-8. — 4-7: p. 443, 5-11. — 7-11: ib. V 21, p. 433, 17-19.

---

115. 5 τε: δὲ PB — 7 τρέφονται SW / συλογισμοῖς SW — 8 ἐψυχωμένον F²WB — 9 ἐν τῇ μήτρᾳ om PBCEVR — 11 τε: δὲ FD / οὐ: οὗ SW — 11 διὰ¹-12 ὅθεν om SWH — 12 τοῦτο SWC / εὐθέως FDS, Plut: om Ω — 13 τὸ: om CR καὶ τὸ SW

116. AFDN, SWH, PBCE, VR 1 Πῶς: οἱ add SWPVR — 2 αἱ om DC / εἰσὶ om N — 3 θεόπεπτοι N / ἡμῶν ψυχῇ AFDR — 5 τῆς om NCVR — 7 τοῖς om SWH — 8 ἰδέας: αἰτίας VR / ἐκφαίνουσι VR — 9 οὖν VR — 11 οὐδεμία NC

117. *AFD, SW* H, PBCE, VR 2 αἴτιον: καὶ add VR — 3 καὶ ξηρότητος CE / δὲ: οὖν SH — 4 τῶν¹ W* / πλεῖστοι DSC — 5 αἱ om FD — 6 πλήθους EVR / τροφῶν PB / ἀπεψίαν καὶ φθοράν PBC — 7 ἡ om FDC / ὑγιείας PBV / περιποιεῖται F περιποίησις D — 8 τελειοῦνται DPBEVR — 9 ἐπὶ μὲν: ἐνὶ μηνὶ SH — 10 τὴν *A / διόρθωσιν PV / γίνεσθαι: λέγει add PBC / τῆς om AFD, Plut — 11 τελειοῦσθαι: λέγει add VR

118. Διατί οἱ νηστεύοντες διψῶσι μᾶλλον ἢ πεινῶσι. [87]

Διψῶμεν μᾶλλον, ὅταν νηστεύσωμεν, ἢ πεινῶμεν, διότι τὸ ἐν ἡμῖν θερμὸν πρῶτον μὲν καταβόσκεται τὸ ἐν τῷ σώματι ὑγρόν, ὅπερ ἀπὸ τῶν ὑπολειμμάτων τῆς ἐν τῷ σώματι τροφῆς περισσεύει, εἶτα ἐπ' αὐτὴν βαδίζει τὴν σύμφυτον λιβάδα τῆς σαρκὸς ἡ ἐν ἡμῖν πύρωσις, τὸ νοτερὸν διώκουσα καὶ τὸ δίυγρον. γενομένης οὖν ὥσπερ ἐν πηλῷ ξηρότητος, ποτοῦ μᾶλλον τὸ σῶμα δεῖσθαι πέφυκεν, ἄχρις οὗ πιόντων ἀναρρωσθὲν καὶ ἰσχύσαν τὸ θερμὸν ἐμβριθοῦς τροφῆς ὄρεξιν ἐργάσηται. τὸ γὰρ ἐν ἡμῖν μάλιστα δεῖται τροφῆς τὸ θερμόν, ὥσπερ ἀμέλει βλέπομεν ἔξω μήτε ἀέρα μήτε ὕδωρ μήτε γῆν ἐφιέμενα τοῦ τρέφεσθαι μήτε ἀναλίσκοντα τὸ πλησιάζον, ἀλλὰ μόνον τὸ πῦρ. διατοῦτο καὶ οἱ γέροντες ῥᾷστα νηστείαν φέρουσιν, ἀμβλὺ γὰρ ἐν αὐτοῖς καὶ μικρὸν ἤδη τὸ θερμόν ἐστι· καὶ τὰ ἄναιμα δὲ τῶν ζώων τροφῆς ἥκιστα προσδεῖται δι' ἔνδειαν θερμότητος.

119. Διατί πεινῶντες μὲν ἐὰν πίωσι παύονται, διψῶντες δὲ ἐὰν φάγωσιν ἐπιτείνονται. [XXXI]

Ἡ δίψα τοῖς φαγοῦσιν ἐπιτείνεται, διότι τὰ εἰσερχόμενα σιτία τῇ ξηρότητι τὸ διεσπαρμένον ὑγρὸν καὶ ἀπολειπόμενον ἀσθενὲς καὶ ὀλίγον ἐν τῷ σώματι συλλέγουσι καὶ προσεξικμάζουσι. τὴν δὲ πεῖναν τὸ ποτὸν ἀνίησι, διότι ἡ ὑγρότης τὰ ὑπόντα σιτία βρέξασα καὶ διαχέασα χυμῶν ἐγγενομένων καὶ ἀτμῶν ἀναφέρει τούτους εἰς τὸ σῶμα καὶ προστίθησι τοῖς δεομένοις. ἐνδυομένη γὰρ ἔξωθεν ἡ ὑγρότης εὐχυμότερα ποιεῖ καὶ τροφιμώτερα τῷ χαλᾶσθαι τὰ ἐντός, ὥστε τῆς πείνης τὸ σφόδρα πικρὸν καὶ θηριῶδες ἐνδιδόναι καὶ παρηγορεῖσθαι· ὥστε καὶ πολὺν χρόνον ζῶσιν ἔνιοι ἂν ὕδωρ μόνον λαμβάνωσιν, ἄχρις οὗ πᾶν ἐξικμασθῇ τὸ τρέφειν καὶ προστίθεσθαι δυνάμενον.

120. Εἰ ἔστι τὶ ἐκτὸς τοῦ οὐρανοῦ. [XXXII]

Διάφοροι δόξαι περὶ τούτου παρ' Ἕλλησι καταβέβληνται· οἱ μὲν γὰρ περὶ Κλεομήδην τὸ κενὸν ἐκτὸς τούτου τιθέασι· Πλάτων δὲ ἐν τῷ

---

118. 1: Plut., qu. conv. VI 1, p. 217, 2-3 Bernardakis. — 2-8: p. 218, 8-16. — 8-14: p. 217, 12-21.

119. 1-2: ib. VI 3, p. 224, 2-3. — 3-8: p. 226, 10-20. — 8-12: p. 226, 25-227, 6.

---

118. AFD, SH, PBE, VR 2 νηστεύωμεν (D)PB — 3 τῷ om SEVR — 4 ἀπολειμμάτων AF / περιττεύει A(F)D — 6 ὑγρόν S — 7 δεῖσθαι τὸ σῶμα AFD — 8 τὸ[2]: τῶν Plut — 9 τὸ SPB, Plut: om Ω — 10 τοῦ AFD, Plut: om Ω — 11 διὰ ταῦτα SPBEVR — 13 δεῖται AFD

119. AFD, SH, PBE, VR 1 οἱ πεινῶντες S / μὲν AFD, Plut: om Ω / πίωσι AFD, Plut: πίνωσι Ω / παύονται om VR — 4 ὑγρόν: καὶ ὑγρὸν PB — 5 συλλέγουσι om VR / προσεξικμάζουσι D (qui -ηκμ-), Plut: προσικμάζουσι AF προεξικμάζουσι Ω τοῦτο συλλέγοντα add VR — 5 τὴν-6 ἀνίησι AFD, Plut: om Ω — 6 ἡ om VR — 7 διαχέουσα SB / ἐγγινομένων SPBVR / τούτοις SH — 8 δεχομένοις AF θεομένοις SH — 9 τῷ: τὸ PB — 9-10 τὸ σφόδρα πικρὸν τῆς πείνης VR — 11 ἄν: οὖν VR / λαμβάνοντες SPBEVR — 12 τρέφειν AFD, Plut: τρέφον Ω / ποτίζεσθαι VR

Φαίδρῳ ἐξυμνεῖ τοῦτο δὴ τὸ μέρος καὶ δυνάμεις τινὰς θείας τὰς τὸν κόσμον κατευθυνούσας ἐνταῦθα τίθεται. ὁ δέ γε Ἀριστοτέλης οὔτε κενὸν οὔτ' ἄλλό τι τῶν πάντων ὑπὲρ τὸν οὐρανὸν εἶναι οἴεται. νοῦν μὲν γὰρ δογματίζει δημιουργὸν τοῦ παντός· οὐ μέντοιγε περιγράφει τοῦτον οὔτε ἐντὸς τοῦ κόσμου οὔτε ἐκτός, οὐδὲ διατειχίζει αὐτῷ τὸν οὐρανόν, ἀλλ' ὑπὲρ τὸ πᾶν μὲν οἴεται, οὐ βούλεται δὲ οἷόν τινα σωματικὴν φύσιν ἐκτὸς τοῦ οὐρανοῦ περικεχύσθαι ἢ ἑστηκέναι, ἀλλ' ἑαυτοῦ εἶναι ἀτόπως καὶ ἀρρήτως.

121. Περὶ τῆς τοῦ οὐρανοῦ οὐσίας. [88]

Πλάτων μὲν ὁ φιλόσοφος ἀπὸ τῶν τεσσάρων στοιχείων πάντα πλάττων τὰ σύνθετα σώματα ἀπὸ τῶν αὐτῶν συγκεῖσθαι καὶ τὸν οὐρανὸν ἀποφαίνεται. τοσοῦτον δέ φησι πρὸς τὰ ἄλλα τὴν διαφορὰν ἔχειν, ὅτι τὰ μὲν ἐπὶ γῆς σώματα ἀπὸ τῆς ἐσχάτης μερίδος τῶν στοιχείων εἶναι, τῆς οἷον παχυτέρας καὶ ὑλωδεστέρας, τὸν δὲ οὐρανὸν ἀπὸ τῆς αὐγοειδεστέρας αὐτῶν μοίρας οὐσιῶσθαι. Ἀριστοτέλης δὲ τὰ μὲν τέσσαρα στοιχεῖα κατ' εὐθεῖαν κινεῖσθαι λαβών, τὸν δὲ οὐρανὸν κύκλῳ φέρεσθαι, ἀπὸ τῆς διαφόρου κινήσεως διάφορον αὐτῷ καὶ τὴν οὐσίαν πρὸς τὰ στοιχεῖα δίδωσι, καὶ τόν τε οὐρανὸν καὶ τοὺς ὑπ' αὐτὸν ἀστέρας καὶ μέχρι σελήνης αἰθέρα καλεῖ καὶ πέμπτον σῶμα κατονομάζει.

122. Εἰς πόσους κύκλους διαιρεῖται ὁ οὐρανός. [89]

Τὸν οὐρανὸν εἰς πολλοὺς κύκλους οἱ φιλόσοφοι διῃρήκασιν· ὧν πρῶτος ἐστὶν ὁ ἰσημερινὸς ὁ μέσον αὐτὸν τέμνων καὶ διαιρῶν τὰ βόρεια καὶ τὰ νότια. ἐφεξῆς δὲ τούτου κατ' ἄμφω τὰ μέρη, κατὰ μὲν τὸ δεξιὸν τὸν θερινὸν κύκλον καὶ τὸν ἀρκτικὸν τιθέασι, κατὰ δὲ τὸ ἀριστερὸν τὸν νότιον καὶ τὸν ἀνταρκτικόν. ἕτερον αὖθις κύκλον πλάττουσι τὸν μεσημβρινὸν ἀπὸ ἀνατολῆς εἰς δύσιν κείμενον καὶ τέμνοντα μὲν τοὺς εἰρημένους πέντε κύκλους ἐπίσης, διαιροῦντα δὲ τὸ ἑῷον μέρος καὶ τὸ ἑσπέριον. ἕκτον προσονομάζουσι τὸν ὁρίζοντα, τὰ δύο ἡμισφαίρια διαστέλλοντα. ἕβδομον τὸν ζωδιακόν, ἀρχόμενον ἀπὸ τοῦ θερινοῦ καὶ τέμνοντα τὸν ἰσημερινὸν καὶ λήγοντα εἰς τὸν νότιον.

---

120. 1: Plut., plac. II 9. — 2-3: Cleom., circ. doctr. I 1. — 3-5: Pl., Phaedr. 247 C-E. — 5-6: Ar., de caelo I 9, 279 a 11-12. — 6-11: cf. Ar., metaph. Λ 8, 1074 a 33-39.

121. 1: Plut., plac. II 11. — 2-7: Pl., Tim. 32 B-C; cf. 40 A. — 7-11: Ar., de caelo I 2, 268 b 26-269 a 7. — 11: Plut. p. 340, 1-2 Diels.

122. 1: Plut., plac. II 12. — 2-11: cf. ib. p. 340, 7-20.

---

120. ALZ, SWH, PBE, VR 4 φαίδωνι [Z]PBVR — 6 νῦν VR — 11 ἑαυτῶ [L] SWHPB ἐν ἑαυτῶ A

121. ALZ, SWH, PBE, VR 2 μὲν om LZ / πάντα om AL — 7 οὐσιοῦσθαι LSW — 11 καὶ[1] om AL

122. ADLZ, SWH, PBCE, VR 3-4 τὰ νότια καὶ τὰ βόρεια SWH — 5 τὸ[1]: τὸν LZ[1]SPE / τὸ[2]: τὸν SE — 6 ἀρκτικόν LBEVR — 7 ἀνατολῆς εἰς δύσιν: ἄρκτου εἰς νότον L — 8 πέντε om SHC — 9 ἑσπερινὸν AL / προσωνομάκασι SW — 11 νότον VR

123. Περὶ τοῦ φαινομένου ἐν τῷ οὐρανῷ γαλακτοειδοῦς κύκλου καὶ λεγομένου γαλαξίου. [90]

Ὅπέρ ἐστι κομήτης περὶ ἕνα ἀστέρα, τοῦτο ἐστὶν ὁ γαλαξίας περὶ ὅλον κύκλον. ἡ γὰρ αὐτὴ ὕλη γαλαξίου καὶ κομήτου· καὶ ἐπεὶ περὶ μέγιστον κύκλον ὁ γαλαξίας γίνεται, πολλὴ ἐξ ἀνάγκης καὶ ἡ ἔξαψις συμβαίνει. ὁ δὲ κύκλος αὐτοῦ συμβάλλει κατά τε τὸν τοξότην καὶ τοὺς διδύμους, ἅπερ ἐκ διαμέτρου εἰσί. καὶ ἵνα τὸ σαφὲς ἔχῃ ὁ ἀναγινώσκων περί τε κομήτου καὶ γαλαξίου, γινωσκέτω ὅτι εὐθὺς μετὰ τὴν σελήνην σῶμα ἐστίν, οὐ καθαρῶς μὲν πῦρ, ἀλλ' οἷον καπνῶδες καὶ δυνάμενον ὑπὸ κινήσεως ἐξαφθῆναι. ὅταν οὖν κινηθὲν τὶ μέρος τοῦ ὑπεκκαύματος ἐξαφθῇ καὶ ἐμπέσῃ εἰς μερικὴν παχεῖαν ὕλην καὶ σταίη, ποιεῖ κομήτην· ὅταν δὲ εἰς ὅλον κύκλον διενεχθῇ, ποιεῖ τὸν γαλαξίαν. φαίνεται δὲ λευκός, διότι οἷον ἐξαφρίζεται ὑπὸ τῆς κινήσεως τὸ ὑπέκκαυμα καὶ ἀπολευκαίνεται.

124. Περὶ τῶν φαινομένων ἐν τῷ οὐρανῷ διαφόρων πυρίνων φασμάτων. [91]

Ἐκφλογούμενον, ὡς εἰρήκαμεν, τὸ ὑπέκκαυμα, εἰ κατὰ μῆκος μόνον ἐξαφθῇ καὶ ποιήσει ἀποσπινθηρισμούς, αἱ λεγόμεναι αἶγες γίνονται· μαλλοῖς γὰρ οἱ ἀποσπινθηρισμοὶ ἐκκρεμέσιν ἐοίκασιν. εἰ δὲ οὐ ποιήσει ἀποσπινθηρισμὸν τὸ κατὰ μῆκος ἐξαφθέν, δαλὸς διὰ τὸ σχῆμα κατονομάζεται. οἱ δὲ φαινόμενοι πίπτοντες ἀστέρες, οὓς διάττοντας ὁ Ἀριστοτέλης καλεῖ, σπέρμα ἐστὶ πυρός, ἐξαφθείσης κατά τι μέρος τῆς καπνώδους ἀναθυμιάσεως καὶ κατὰ διάδοσιν πλαγίαν ποιησαμένης κίνησιν. λοξὴ δὲ γίνεται ἡ κίνησις δι' αἰτίαν ἑτέραν, ὅταν ὑπὸ ψύξεως ὠθούσης τὸ σχῆμα γένηται. ἐπειδὴ γὰρ πᾶν τὸ ἄνωθεν ἀκοντιζόμενον κάτω φέρεται, φύσει δὲ ἔχει τὸ πῦρ τὴν ἄνω φορὰν διώκειν, τῆς μὲν ἐκθλίψεως ἐπὶ τὰ κάτω βιαζομένης φέρεσθαι, τῆς δὲ φύσεως ἐπὶ τὰ ἄνω ἀναγκαζούσης, οἷον μίξις τὶς γίνεται καὶ λοξὴ κίνησις.

125. Περὶ τῶν φαινομένων ἐν τῷ οὐρανῷ χρωμάτων αἱματωδῶν καὶ χασμάτων. [92]

Φαίνονται αἱματώδη χρώματα δῆθεν ἐν τῷ οὐρανῷ, ὅταν μέλαν

---

123. 1-2: Plut., plac. III 1. — 3: cf. infra § 139. — 3-4: Olymp., in met. I 8, p. 74, 27-30 Stüve. — 4-7: p. 75, 10-11; 13-14.

124. 3: § 130. — 3-10: Olymp., in met. I 4, p. 37, 37-38, 6. — 10-11: p. 38, 32-33, 10-11. — 11-14: p. 38, 33-39, 1.

125. 3-8: Olymp. I 5, p. 44, 8-11; 14-15. — 8-12: p. 44, 33-37.

---

123. AFDLZ, SWH, PBC, VR 2 γαλαξία PBC — 3 ἐστι AFDL, Olymp: ὁ ZS ἐστιν ὁ Ω — 4 καὶ ἐπεί: κἂν AFD / ἐπειδὴ SW — 5 καὶ om SWHVR — 6 συνέβη AF — 7 ἔχει DSV — 8 γαλαξίου καὶ κομήτου ZPB(C) — 10 οὖν om PBC μὲν VR

124. AFDLZ, SWH, PBC, VR 2 φαντασμάτων DSP — 3 εἰ: εἰ καὶ SWVR — 4 λεγόμεναι: καλούμεναι PBC — 5 ἐκκρεμέσιν οἱ ἀποσπινθηρισμοὶ VR — 6 ἀποσπινθηρισμοὺς DZSWC — 7 οὓς καὶ SW / ὁ om PBC — 8 εἰσὶ AFSWH — 9 ποιησαμένου D ποιησάμενοι S -ος VR — 10 ἑτέραν αἰτίαν P[B]C — 11 γίνηται AFLC — 12 φύσιν D[Z]SW — 13 θλίψεως VR / τὰ[1]: τὸ AFDL / τὰ[2]: τὸ LSW

125. AFDLZ, SWH, PB, VR 2 φασμάτων [FZ]SWH — 3 δῆθεν om SWH

νέφος εἰς τὰ πλάγια τοῦ λαμπροῦ τυγχάνῃ· ἢ πάλιν ὅταν νέφος μελάγχρουν ὑποκάτω τοῦ λαμπροῦ συναχθείη. ἀλλ' εἰ μὲν εἰς τὰ πλάγια εἴη τὸ νέφος, ἀνακλᾶται εἰς αὐτὸ ἀπὸ τοῦ λαμπροῦ ἡ φαντασιώδης ὅρασις· εἰ μέντοι κατὰ κάθετον εἴη τοῦ λαμπροῦ τὸ νέφος, τότε κατὰ διάκλασιν αὐτῶν γίνεται ἡ ὅρασις. χάσματα δὲ φαίνεται, ὅταν τὸ μέλαν νέφος καὶ τὸ λαμπρὸν ἐν τῷ αὐτῷ ὦσιν ἐπιπέδῳ καὶ τὸ μὲν μέλαν ἔσω συνειστήκει, τὸ δὲ λαμπρὸν ἔξω. τηνικαῦτα γὰρ ἡ ὄψις τοῦ μὲν λαμπροῦ μᾶλλον ἀντιλαμβανομένη, τοῦ δὲ μέλανος βραδύτερον καὶ βαθύτερον, χάσμα δοκεῖ ὁρᾶν, ὅπερ παρὰ τὴν φαντασίαν τοῦ μέλανος χρώματος γίνεται.

126. Περὶ οὐσίας ἡλίου, καὶ εἰ πολλοὶ εἰσὶν ἥλιοι. [XXXIII]

Τὴν μὲν οὐσίαν τοῦ ἡλίου εἰρήκαμεν φθάσαντες ὅτι κατὰ μὲν Ἀριστοτέλην πέμπτον σῶμα καὶ ἑτεροφυὲς πρὸς τὰ στοιχεῖα, κατὰ δὲ Πλάτωνα τοῦ τετραστοίχου τὸ διαυγέστατον. περὶ δὲ ἀριθμοῦ ἡλίων τοσοῦτον φημί, ὅτι ὁ μὲν ὁρώμενος ἥλιος εἷς ἐστι καὶ οὔτε δύο οὔτε πλείους· ὑπὸ δὲ περιττῆς σοφίας τῶν Ἑλλήνων ἔνιοι δύο καὶ τρεῖς τίθενται, ἕνα μὲν τὸν ἐν τῷ δημιουργικῷ νῷ, καὶ ἕτερον τὸν παραδειγματικόν, καὶ τρίτον τοῦτον δὴ τὸν ὁρώμενον. φασὶ γὰρ ὅτι βουλόμενος παραγαγεῖν ὁ θεὸς ἥλιον ἀνετυπώσατο τοῦτον καὶ ἐνενόησε, καὶ ἔστιν οὗτος εἷς παρὰ τῷ δημιουργῷ ἥλιος· εἶτα ἐποίησε νοητὸν ἥλιον καὶ ἔστησεν εἰς παράδειγμα· καὶ τρίτον κατὰ τὸ ἀρχέτυπον εἶδος τὸν αἰσθητὸν ἐξεικόνισε.

127. Περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς. [93]

Ὁ ἥλιος πρὸς τὴν γῆν κατὰ τὸν ἀστρονομικώτατον Ἀρίσταρχον μείζονα λόγον ἔχει ἢ ὃν τὰ ͵ϛωνθ' πρὸς κζ'. ἡ δὲ διάμετρος αὐτοῦ πρὸς τὴν τῆς γῆς διάμετρον μείζονα λόγον ἔχει ἢ ὃν τὰ ιθ' πρὸς γ', ἐλάσσονα δὲ ἢ ὃν τὰ μγ' πρὸς τὰ ϛ'. καὶ αὖθις ἡ τοῦ ἡλίου διάμετρος τῆς διαμέτρου τῆς σελήνης μείζων ἐστὶν ἢ ὀκτωκαιδεκαπλασίων,

126. 1: Plut., plac. II 20. — 2: § 131.
127. 1: Plut., plac. II 21. — 2-3 : Aristarch., de magn. et dist. 16, p. 408, 7-8 Heath (Oxon. 1913). — 3-5 : ib. 15, p. 402, 21-23. — 5-7: ib. 9, p. 382, 17-18. — 7-9 : ib. 7, p. 376, 2-4. — 9-11: ib. 10, p. 384, 8-9.

---

125. 4 ἢ: καὶ LSWHVR — 5 εἰς: κατὰ AF — 6 ἀνακλᾶται-7 νέφος om VR — 7 κάθεκτον SH / τότε δὴ VR — 9 μὲν om PB — 10 γάρ: δὴ SW δὲ PBVR — 11 βραχύτερον SWH βραδυτέρα (V)R — 12 καὶ βαθύτερον om SWHPBVR / περὶ AF — 13 χρῶμα VR

126. AFDLZ, SWH, PBE, VR 2 μὲν²: τὸν add SW(E)V — 4 διαυγέστερον SWHVR — 6 δὲ: τῆς add PB — 7 καὶ ἕτερον: ἕτερον δὲ SW — 8 τρίτον om VR / φησι VR¹ / ὅτι om VR — 9 ὁ θεὸς post βουλόμενος SW ante βουλόμενος VR / τὸν ἥλιον ADLPB

127. AFDLZ, SWH, PBCE, VR 3 τὰ ͵ϛω' πρὸς κζ' SW¹H τὰ ͵ϛω' πρὸς τὰ νθ' PBC(VR) τὰ ἑξακισχίλια πρὸς ὀκτακόσια πεντήκοντα ἐννέα E τὰ ͵δωνθ' (cett om) Z — 4 καὶ μείζονα SWH / πρὸς² ADEV, Aristarch : πρὸς τὰ Ω — 5 ἐλάσσονα-ϛ' om ZPBCEVR / ἔλασσον SW — 6 ὀκτωκαιδεκαπλασίων [FD]L -άσιον ZW(P)CEVR -ασίον S -άσιος AB

ἔλαττον δὲ ἢ εἰκοσαπλασίων. καὶ τὸ ἀπόστημα, ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς, τοῦ ἀποστήματος, οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς, μεῖζον ἐστὶν ἢ ὀκτωκαιδεκαπλάσιον, ἔλασσον δὲ ἢ εἰκοσαπλάσιον. καὶ πάλιν ὁ ἥλιος πρὸς τὴν σελήνην μείζονα λόγον ἔχει ἢ ὃν τὰ ͵εωλβ′ πρὸς ἕν, ἐλάσσονα δὲ ἢ ὃν τὰ ͵η πρὸς η′. ταῦτα δὲ οὐχ' ἁπλῶς οὕτως καὶ ἀναποδείκτως παρὰ τοῖς ἀστρολόγοις προτείνεται, ἀλλὰ μετὰ γεωμετρικῶν καὶ ἀναντιρρήτων ἀποδείξεων. περὶ ὧν οὐ καιρὸς νῦν λέγειν, ἀλλὰ σύ, θειότατε βασιλεῦ, τὰ προβλήματα ἀναποδείκτως τέως δεξάμενος τὰς ἀποδείξεις ὕστερον ἐπιζήτει μοι.

128. Περὶ ἐκλείψεως ἡλίου. [94]

Οὐ κυρίως ἔκλειψις ἐπὶ τοῦ ἡλίου λέγεται — οὐ γὰρ ἐκλείπει ποτὲ τὸ ἡλιακὸν φῶς — ἀλλ' ἐπισκότησις. ἐπισκοτεῖται δέ, ὅταν ἐν τοῖς ἐκλειπτικοῖς συνδέσμοις κατὰ κάθετον αὐτῷ ἡ σελήνη γένηται. ὑπὸ ταύτην γὰρ οἰκοῦντες ἡμεῖς, ἐπισκιάζει τοῖς ὄμμασιν ἡμῶν τὸ ἡλιακὸν φῶς. πλὴν δώδεκα δακτύλοις τὸ σῶμα τῆς σελήνης διαμετροῦντες οἱ ἀστρονόμοι, ἔστι μὲν ὅτε τῷ ὅλῳ τῆς σελήνης σώματι τὰς ἡλιακὰς αὐγὰς ἀντιφράττουσιν, ἔστι δ' ὅτε ἐλάττοσι τούτων. ὅταν μὲν γὰρ τὴν ὑψηλοτέραν ἁψῖδα ἡ σελήνη φέρηται καὶ τὴν ἐγγίζουσαν τῷ ἡλίῳ, ὀλίγῳ μέρει δοκεῖ τοῦτον ἐπισκιάζειν· ὅταν δὲ κατώτερον δίεισιν, ἐπειδὴ εὐμεγέθης τηνικαῦτα τοῖς ὄμμασιν ἡμῶν ἐμπίπτει, ὅλον ἀντιφράττει τὸν ἥλιον.

129. Περὶ ἐκλείψεως σελήνης. [95]

Ἐκλείπει ἡ σελήνη εἰς τὸ τῆς γῆς ἐμπίπτουσα σκίασμα. φωτιζομένη γὰρ ὑπὸ τοῦ ἡλίου ἡ γῆ σκιὰν ποιεῖ, ἀλλ' οὐ κυλινδρικήν, οἷον τὸ τοῦ κίονος ἐστὶ σχῆμα, ἀλλὰ κωνοειδῆ· κῶνος δὲ ὁ στρόβηλος λέγεται, ὅστις ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ ἀπολήγει· τοιαύτη δὲ καὶ ἡ τῆς γῆς ἐστὶ σκιά. διότι ὅτάν τι σῶμα ὑπὸ ἰσομεγέθους φωτίζηται σώματος, κυλινδρικὴ γίνεται ἡ σκιά· ὅταν δὲ ὑπὸ μείζονος, κωνοειδής. μείζων οὖν ὁ ἥλιος τῆς γῆς ὢν καὶ φωτίζων αὐτήν, κωνικὴν ποιεῖ τὴν σκιάν. ὅταν οὖν εἰς τὸ τῆς γῆς σκίασμα ἡ σελήνη ἐμπέσῃ, ἀμαυρὰ ἡμῖν φαίνεται καὶ οἷον ἐκλείπουσα. καὶ ὅταν μὲν εἰς τὴν ῥίζαν ἐμπέσῃ τῆς σκιᾶς, τελείως ἐκλείπει· ὅταν δὲ εἰς τὴν κορυφήν, ἀμυδρότερον, διότι τῆς κωνοειδοῦς σκιᾶς ἡ μὲν βάσις πλατυτέρα, ἡ δὲ κορυφὴ βραχυτέρα.

---

128. 1: Plut., plac. II 24.
129. 1: ib. II 29. — 2 : ib. p. 360, 13-14 Diels.

---

127. 7 ἔλαττον δὲ ἢ εἰκοσαπλασίων om ZPBCEVR / ἔλαττον DL : ἐλάττονα AF ἔλασσον SW — 7 καὶ-9 εἰκοσαπλάσιον AFDL(ZW²): om Ω — 7 ὃ: ἔχει ἢ add AFL / ἀπέχει¹: ἐπέχει D — 10 ͵σωλβ′ A ͵ϛωλβ′ F ͵φωλβ′ ZVR / τὸ ἓν SW — 11 ἐλάσσονα -η′ AFDL : om Ω / ͵η: ͵α L / η′ om L (α′ Aristarch) — 13 ἀναντιρρητικῶν VR / λέγειν om PBC — 15 μοι: με AFVR

128. AFDLZ, SWH, PBCE, VR 2 ἡ ἐπὶ DL / λέγεται: γίνεται SWHCVR — 4 κάθεκτον SH / αὐτοῦ DL — 5 οἰκούντων ἡμῶν SWPBCVR / συσκιάζει SW — 8 ὅταν: ὅτε VR — 9 ἀψίδα FDSB ἀσπίδα LPCE — 10 κατωτέρω PBC — 11 τηνικαῦτα om DZ

129. AFDLZ, SWH, PBCE, VR 4 ἐστὶ om DZ / στρόβιλος ZPBR — 5 ὅσγε AF[D] / καταλήγει Z λήγει P(B)C / καὶ om SWHVR — 6 μεγέθους SWHBCEV[R] / φωτίζεται FDL — 8 ποιεῖται PBC — 11 ἀμυδροτέρα VR

130. Εἰ θερμὸς ὁ ἥλιος. [96]

Πλάτων μὲν ἅπαν τὸ αἰθέριον σῶμα ἐκ πυρὸς καὶ γῆς καὶ τῶν ἑτέρων δύο στοιχείων κατασκευάζων, εἰκότως ἂν εἴποι θερμὸν τὸν ἥλιον· Ἀριστοτέλης δὲ ἕτερον παρὰ τὰ στοιχεῖα τὸ τοιοῦτον σῶμα τιθείς, οὔτε θερμὸν λέγει τὸν ἥλιον οὔτ' ἄλλην ποιότητα ἔχοντα. εἴποι δ' ἂν ἐρωτώμενος, πῶς μὴ θερμὸς ὢν θερμαίνει, ὅτι κινεῖ κινούμενος τὸ ὑπέκκαυμα καὶ τὸν περίγειον ἀέρα κἀντεῦθεν θερμότητος τοῖς ὑποκειμένοις καθίσταται αἴτιος. τοῦ δὲ ὑπεκκαύματος καὶ τὴν φύσιν καὶ τὸ ὄνομα αὐτὸς πρῶτος καὶ ἐφεῦρε καὶ ὠνόμασεν. ὑπέκκαυμα οὖν λέγει τὴν ἀναπεμπομένην ἀπὸ τῆς γῆς ἀναθυμίασιν θερμὴν καὶ ξηρὰν καὶ οἷον καπνώδη. αὕτη οὖν ἡ καπνώδης ἀναθυμίασις μέχρι τῆς σελήνης ἀναγομένη διὰ κουφότητα, εἶτα κινουμένη κατὰ μέρος ἐξάπτει καὶ ὡς πῦρ φαίνεται καὶ θερμαίνει τὴν ὑποκειμένην οὐσίαν. ὅτι δὲ ἡ κίνησις θερμότητα ποιεῖ, δηλοῦσιν αἱ ἀκίδες τῶν βελῶν· τῇ γὰρ κινήσει λύουσι τὸν ἐπικείμενον ἐν αὐταῖς μόλιβδον.

131. Τίς ἡ οὐσία τῶν ἀστέρων. [97]

Πάντων τῶν ἀστέρων τῶν τε ἀπλανῶν καὶ πλανήτων κατὰ μὲν Πλάτωνα μία οὐσία, ἡ διαυγεστέρα τῶν στοιχείων μερὶς καὶ τὸ οἷον ἐξάφρισμα τούτων, κατὰ δὲ Ἀριστοτέλην ἡ ἐπίνοια τοῦ πέμπτου σώματος. οὐ γὰρ ἐξονομάζει τὴν οὐσίαν αὐτῶν, ἀλλὰ τὸν πάντα οὐρανὸν καὶ τοὺς ἀστέρας σύμπαντας διὰ τὴν διάφορον κίνησιν πρὸς τὰ τέσσαρα στοιχεῖα πέμπτον σῶμα καλεῖ. τῶν δὲ συμπάντων ἀστέρων ἑπτὰ μόνοι εἰσὶν οἱ πλανῆται, κυρίως δὲ πέντε· ὁ γὰρ ἥλιος καὶ ἡ σελήνη οὐ πεπλάνηνται, οἱ δ' ἄλλοι πέντε διὰ τὸ δοκεῖν ἵστασθαι καὶ ὑποποδίζειν καὶ αὖθις προποδίζειν πλανῆται ὠνομάσθησαν.

132. Περὶ τῆς τῶν ἀστέρων φορᾶς καὶ κινήσεως. [98]

Οἱ μὲν ἀπλανεῖς ἀστέρες ἅπαντες ἐστηριγμένοι ὄντες, ὡς Ἀριστοτέλης φησί, καὶ τῷ οὐρανῷ ἀμεταθέτως συγκινούμενοι, ἐπειδήπερ οὗτος ἐξ ἀνατολῶν εἰς δυσμὰς φέρεται, τὴν αὐτὴν καὶ οὗτοι τῷ οὐρανῷ κινοῦνται κίνησιν. οἱ δὲ πλανῆται διὰ τὴν ἀντίθετον ἀντέρεισιν καὶ

---

130. 2-5: cf. infra § 131. — 5-8: Olymp., in met. I 3, p. 34, 23-25 Stüve. — 8-13: Ar., meteor. I 4, 341 b 18-24. — 13-15: Olymp. p. 34, 27-29.

131. 1: Plut., plac. II 13. — 2-4: cf. Pl., Tim. 40 A; epin. 981 D-E. — 4-7: Ar., de caelo I 2, 268 b 26-269 a 7; cf. Plut., plac. II 11, p. 340, 1-2 Diels.

132. 1: Plut., plac. II 16. — 2-3: Ar., de caelo II 12, 292 a 10-14.

---

130. AFDLZ, SWH, PBE, VR 1 θερμός: ἐστὶν add LZPBER — 2 τῆς γῆς SW — 6 κινεῖ AFDLZ : om Ω — 7 θερμαίνει τὸ ὑπέκκαυμα PB τὸ ὑπέκκαυμα ποιεῖ SWHEVR — 9 πρῶτον AF[L]E — 10 ἀπό: ἐκ SWH — 12 μέρη PBE — 13 δέ: δὲ καὶ FD — 15 ἐν om LSWEVR / αὐτοῖς AFR

131. ADLZ, SWH, PBE, VR 2 καί: τῶν τε SW — 6 ἅπαντας VR — 6 διά-7 στοιχεῖα om PB — 7 τὰ στοιχεῖα τὰ τέσσαρα VR / σῶμα: ὄνομα VR — 8 μόνοι: μὲν SWH μόνον ZPBEVR / οἱ om DR — 9 οἱ δ' ἄλλοι ADLZ : ἀλλ' οἱ Ω — 10 καὶ αὖθις προποδίζειν ADLZ : om Ω

132. ADLZ, SWH, PBE, VR 3 συγκινούμενοι-4 οὐρανῷ om PB — 4 οὗτος: οὗτοι VR / φέρονται VR

ἰσόσταθμον ὑπὸ σοφῇ προνοίᾳ, ἵνα μὴ σύρρηξις ὑπὸ τῶν αὐτῶν καταδρόμων καὶ κυλισμάτων γένηται, κατὰ τὴν ἰδίαν καὶ φυσικὴν κίνησιν ἐκ δύσεως εἰς ἀνατολὴν φέρονται. κινοῦνται δὲ καὶ ἐξ ἀνατολῶν εἰς δύσιν, ἀλλὰ τῷ οὐρανῷ συμπεριφερόμενοι· ὅθεν ὁ ἥλιος κατὰ μὲν τὴν ἰδίαν κίνησιν τὰς τέσσαρας ὥρας πληροῖ τοῦ ἐνιαυτοῦ, νῦν μὲν βόρειος, νῦν δὲ νότιος κινούμενος· καθὸ δὲ συγκινεῖται τῷ οὐρανῷ ἐξ ἀνατολῆς εἰς δύσιν, ἡμέρας καὶ νύκτας ποιεῖ.

133. Ποταπὰ τῶν ἀστέρων τὰ σχήματα. [99]

Πολλῶν ὄντων σχημάτων, τριγωνικῶν, τετραγωνικῶν, κυβικῶν, πυραμοειδῶν, καὶ τῶν λοιπῶν εὐθυγραμμικῶν, κάλλιστόν ἐστι τὸ σφαιροειδές. ὁ τοίνυν οὐρανὸς καὶ σύμπαντες οἱ ἀστέρες τοῦ σφαιρικοῦ σχήματος ὄντα τυγχάνουσι. καὶ δῆλον ἀπὸ τῶν τῆς σελήνης φωτισμῶν. διὰ γὰρ τὸ κύρτωμα ταύτης οὐκ εὐθὺς ὅλη παρὰ τοῦ ἡλίου φωτίζεται, ἀλλὰ κατὰ βραχὺ τὴν αὔξησιν δέχεται τοῦ φωτός. ἔδει γὰρ τὸ αἰθέριον σῶμα τῷ καλλίστῳ τῶν σχημάτων ἀποτορνεύεσθαι· νοῦν γὰρ τὸ σχῆμα μεμίμηται. ὥσπερ γὰρ ὁ νοῦς ἐπιστρέφει πρὸς ἑαυτόν, οὕτω δὴ καὶ τὸ αἰθέριον σῶμα συννεύει πρὸς ἑαυτό, ὑπὸ νοῦ κυβερνώμενον ἢ πρὸς νοῦν ἐπιστρέφον.

134. Περὶ τάξεως ἀστέρων. [100]

Εἰς δύο μέρη τῶν ἀστέρων διαιρουμένων, εἰς τὸ ἀπλανὲς καὶ τὸ πλανώμενον, οἱ μὲν ἀπλανεῖς τὴν ὑψηλοτέραν τάξιν τῶν πλανήτων ἔχουσιν, οὐκ ἐν τῇ αὐτῇ ἐπιφανείᾳ τοῦ αἰθερίου σώματος κείμενοι καὶ φερόμενοι, ἀλλ' οἱ μὲν ὑψηλότεροι αὐτῶν εἰσίν, οἱ δὲ ταπεινότεροι. οἱ δὲ ἑπτὰ πλανῆται μετὰ τοὺς ἀπλανεῖς τετάχαται· ὧν πρῶτος ἐστὶν ὁ τοῦ Κρόνου λεγόμενος ἀστήρ, καὶ μετὰ τοῦτον ὁ τοῦ Διός, καὶ ὑπ' αὐτὸν ὁ τοῦ Ἄρεος, εἶτα ἥλιος, μεθ' ὃν Ἀφροδίτη, καὶ μετὰ ταύτην Ἑρμῆς, καὶ τελευταῖον ἡ σελήνη· μεθ' ἣν τὰ τέσσαρα στοιχεῖα, ὥσπερ εἰρήκαμεν. ὡρισμένοι δὲ τούτοις εἰσὶ καὶ οἱ χρόνοι τῶν κινήσεων, θαυμασίαν τὴν συμφωνίαν ἔχοντες.

135. Πόθεν φωτίζονται οἱ ἀστέρες. [101]

Οὔτε τῶν ἀπλανῶν ἀστέρων οὐδεὶς οὔτε πάντες οἱ πλανῆται, ἀλλ' ἡ σελήνη μόνη παρὰ τοῦ ἡλίου φωτίζεται. διατοῦτο καὶ τὸ πεφωτισμένον

---

133. 1: Plut., plac. II 14. — 7-8 : cf. Pl., Tim. 33 B. — 8-9 : cf. Plot. II 2[1].
134. 1: Plut., plac. II 15. — 4-5 : cf. ib. p. 344, 10-13 Diels. — 5-9 : p. 344, 17-345, 6. — 9-10 : § 159[8-10].
135. 1: Plut., plac. II 17.

---

132. 6-7 καταδρομῶν PB — 7 καὶ[2] om ADL — 8 ἀνατολῶν: -ῆς AZSWE — 10 τὰς om SWVR
133. ALZ, SWH, PBE, VR 2 τριγωνικῶν: καὶ add A τε καὶ add L — 5 ὄντες AR — 7 κατὰ τὸ VR — 8-9 μιμεῖται τὸ σχῆμα VR — 9 μιμεῖται SW — 10 ἤ: καὶ SVR
134. ALZ, SWH, PBE, VR 2 μέρη: τάξεις SWH — 3-4 ἔχουσι τῶν πλανήτων SW(E) — 6 τετάχασι PB — 8 ὁ ἥλιος ZSWVR / μετ' αὐτὴν PBR — 9-10 ὡς προειρήκαμεν ZR — 10 τούτων AL
135. A *FDLZ, SWH, PBE, VR 3 τὸ om SW

αὐτῆς μέρος ἀεὶ πρὸς τὸν ἥλιον νένευκεν· οὐκ ἔστι δὲ ὅτε ἀφώτιστος παντάπασιν ἐστὶν ἡ σελήνη, ἀλλ' ἀεὶ ἐνδέδυται φῶς ἡμισέληνον. ἐν μὲν οὖν ταῖς συνόδοις ἀφώτιστον μέν ἐστι τὸ πρὸς ἡμᾶς αὐτῆς κύρτωμα, πεφωτισμένον δὲ τὸ ἄνω φαλάκρωμα· ἐν δὲ ταῖς πανσελήνοις τὸ μὲν νεῦον πρὸς ἡμᾶς ἡμισφαίριον αὐτῆς ὁλοφαές ἐστι, τὸ δ' ἄνω ἡμίτομον φωτὸς ἄμοιρον. μεταξὺ δὲ τῆς συνόδου καὶ τῆς πανσελήνου κατὰ τὸ μέτρον τῆς πρὸς τὸν ἥλιον διαστάσεως μηνοειδὴς γίνεται καὶ διχότομος καὶ ἀμφίκυρτος· ἢ γὰρ ἔλαττον τοῦ ἡμίσεος φωτίζεται ἢ κατὰ τὸ ἥμισυ ἢ κατὰ τὸ πλέον.

136. Περὶ ἐπισημασίας ἀστέρων, καὶ πῶς γίνεται χειμὼν καὶ θέρος. [102]

Ἐπισημασία ἐστίν, ὅταν ὁ ἐπιτέλλων ἀστὴρ καὶ συνανατέλλων τῷ ἡλίῳ, ὥσπερ ὁ καλούμενος κύων καὶ ὁ ὠρίων καὶ ὁ ἀρκτοῦρος ἢ ἕτερός τις τῶν ἀπλανῶν ἀλλοιώσῃ τὸν ἀέρα κατὰ τοὺς τέσσαρας τοῦ ἔτους καιρούς. τοῦτο γὰρ καὶ Μωσῆς ὑπαινίττεται λέγων· ἔσονται εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς. ἐπισημαίνεται γάρ τι ὁ ἀστὴρ τῶν περὶ τὸν ἀέρα παθῶν, ἑῴαν ἐπιτολὴν ἢ ἑσπερίαν ποιούμενος. περὶ μέντοιγε θέρους καὶ χειμῶνος καὶ τῶν λοιπῶν ὡρῶν ἰστέον, ὡς ὅταν μὲν ὁ ἥλιος βόρειος ἡμῖν γένηται καὶ ὑπὲρ κεφαλῆς κινοῖτο, θέρος ποιεῖ· ὅταν δὲ πρὸς νότον ἀπελαθῇ, χειμῶνα ἐργάζεται· καὶ ὅταν μὲν κατὰ τὸν κριὸν τὸ ζώδιον γένηται, ἰσημερίαν καὶ ἔαρ ποιεῖ· ὅταν δὲ κατ' ἀντικρὺ διαπορεύηται τῶν ζυγῶν, μετόπωρον καὶ ἰσημερίαν αὖθις.

137. Πόσος ἑκάστῳ τῶν πλανήτων ὁ χρόνος τῆς περιόδου. [103]

Τοῖς πλάνησι πᾶσι κατὰ ἀναλογίαν τοῦ μεγέθους τῶν σφαιρῶν καὶ τοῦ μέτρου τῶν ἀποστάσεων χρόνους ὡρισμένους ἀφώρισεν ὁ θεὸς τῶν κινήσεων. καὶ ὁ μὲν Κρόνος ἅτε ὑψηλότερος τῶν ἄλλων καὶ μείζονα κύκλον περιερχόμενος διὰ τριακονταετίας τὴν αὐτοῦ περίοδον ἐκπληροῖ· ὁ δὲ Ζεὺς εὐθὺς μετ' αὐτὸν ὢν διὰ δωδεκαετίας· ὁ δὲ Ἄρης διὰ δύο καὶ ἡμίσεος ἐνιαυτῶν· τῷ δὲ ἡλίῳ καὶ τῇ Ἀφροδίτῃ καὶ τῷ Ἑρμῇ ἰσόδρομος ἡ περίοδος καὶ ἐνιαύσιος· ἡ δὲ σελήνη διὰ εἰκοσιεννέα ἡμερῶν πρὸς τῇ ἡμισείᾳ ἀποκαθίσταται. εἰ δέ τις μουσικώτερον ἅπτοιτο τῶν τοιούτων ἀριθμῶν, τὴν τοῦ δημιουργοῦ σοφίαν θαυμάσεται, πῶς ἅπαντες οἱ τῶν συμφωνιῶν λόγοι ἐν τούτοις ἐμφαίνονται, ὁ διὰ πασῶν, ὁ διὰ πέντε, καὶ ὁ διὰ τεσσάρων.

---

136. 1: ib. II 19. — 5-6: Gen. 1^{14}.
137. 1: Plut., plac. II 32. — 4-9: cf. ib. p. 363, 9-15 Diels.

---

135. 4 ὅτι SH — 5 ἐνδύεται PB — 7 πεφωτισμένον *F — 9 ἀμοιροῦν AF — 11 ἡμίσεως F^{1}DL / ἢ^2: ἢ καὶ PBE

136. AFDLZ, SWH, PBCE, VR 2 ὁ om WC — 3 ὁ^2 om SWVR — 4-5 καιροὺς τοῦ ἔτους LSWPBCEVR — 5 τοῦτο-6 καιροὺς om AF(D) — 5 μωϋσῆς LR — 8 μέντοι SW γάρ τοι AFD γὰρ L / καὶ^1: ἢ SWH[B]V[R] — 10 πρὸς τὸν BC / ἀπέλθοι SW -η R — 11 καὶ ἔαρ ποιεῖ: ἐμποιεῖ SWHVR — 12 τῶν ζυγῶν AFZ τὸν ζυγὸν L τοῦ ζυγοῦ D τῶν χηλῶν Ω

137. AFDLZ, SWH, PBC, VR 2 κατὰ AFDLZ: κατὰ τὴν Ω — 5 ἑαυτοῦ AF[D]Z αὐτοῦ SWPC αὐτὴν R — 6 δυοδεκαετίας AF[D]L — 7 ἡμίσεως F^{1}V ἥμισυ DC — 11 συμφώνων PBCVR / τούτοις AFDLZ: τοῖς τοιούτοις Ω — 12 καὶ om PBC / ὁ^2 om AF

138. Περὶ τῶν ἄστρων τῶν καλουμένων Διοσκούρων. [XXXIV]

Ἐπὶ τοσοῦτον ἡ ματαία τῶν Ἑλλήνων σοφία ἠπάτηται, ὅτι καὶ τὰ παραλάμποντα δύο νεφύδρια κατὰ τὴν ποιὰν αὐτῶν κίνησιν καὶ τοῖς πλέουσιν ἐπὶ νεὼς ἐμφαινόμενα εἴδωλα εἶναι φασὶ τῶν Διοσκούρων ψυχῶν. Διοσκούρους δὲ ὀνομάζουσιν, οἷον Διὸς παῖδας, τὸν Κάστορα καὶ τὸν Πολυδεύκην, τοὺς τῆς Ἑλένης ἀδελφούς· Ἑλένης δέ φημι ἐκείνης τῆς γαμηθείσης μὲν Μενελάῳ τῷ Σπάρτης βασιλεῖ, ἁρπαγείσης δὲ ὑπὸ Ἀλεξάνδρου τοῦ Πάριδος· κἀκείνην γὰρ Διὸς παῖδα μυθεύονται Ἕλληνες. καὶ οὐδὲ τοσοῦτον ἔγνωσαν ὅτι αἱ μὲν ψυχαὶ ἀσώματοι καὶ ἀόρατοι, τὰ δὲ φαινόμενα νεφέλια ὁρατὰ καὶ σωματικά· ἀλλὰ τοσοῦτον αὐτοῖς τὸ περιὸν τῆς ἀπάτης, ὅτι κατὰ τὴν οἰκείαν αὐτονομίαν Ἡρακλέα μὲν καὶ Διόνυσον, ἀνθρώπους θνητούς, ἀπεθέωσαν, Κάστορα δὲ καὶ Πολυδεύκην καταστερίζουσιν.

139. Περὶ κομήτου. [104]

Ὁ κομήτης ἐν τῷ ὑπεκκαύματι γίνεται, ὅταν ἐξαφθῇ τι μέρος τοῦ ὑπεκκαύματος διὰ τὴν κίνησιν, ὡς εἰρήκαμεν. καὶ εἰ μὲν λεπτὴ σύστασις εἴη, διατρέχει εὐθὺς τὸ ἐξαφθὲν κατὰ διάδοσιν, καὶ γίνεται ὁ καλούμενος διάττων ἀστήρ· εἰ δὲ παχυτέρα εὑρεθῇ ἡ ὕλη, κατέχεται ἐκεῖσε τὸ σπέρμα τοῦ ἐξαφθέντος πυρός, καὶ ποιεῖ τὸν κομήτην. ἐὰν γὰρ ἐπιτύχῃ καταντήσασα ἡ ἔξαψις εἰς παχυτέραν ὕλην, ἵσταται καὶ ποιεῖ ὡς εἴρηται τὸν κομήτην. εἰσὶ δὲ τῶν κομητῶν τὰ σχήματα διάφορα διὰ τὴν διάφορον τῆς ὕλης ἔξαψιν. ἢ γὰρ κατὰ μῆκος μόνον ἐστὶν ἡ ἔξαψις, καὶ γίνεται ὁ καλούμενος δοκίας· ἢ κατὰ μῆκος καὶ πλάτος, καὶ ἀποτελεῖται ὁ κυρίως ὀνομαζόμενος κομήτης· ἢ ἐν βάθει ἔχει οἷον ἀποσπινθηρισμούς τινάς, καὶ καλεῖται πωγωνίας. ἔστι δὲ καὶ ἕτερα ὀνόματα τῶν κομητῶν, περὶ ὧν ἐροῦμεν προϊόντες.

140. Περὶ ὑετοῦ, χαλάζης, χιόνος, πάχνης καὶ δρόσου. [105]

Κομῆται μὲν καὶ γαλαξίας, ἔτι δὲ δοκίδες καὶ διάττοντες, καὶ τἆλλα τὰ εἰρημένα, ἐν τῇ καπνώδει γίνονται ἀναθυμιάσει· ὑετὸς δὲ καὶ

---

138. 1: Plut., plac. II 18. — 2-4 : ib. p. 347, 4-6.
139. 1: cf. ib. III 2. — 2 : Olymp., in met. I 7, p. 59, 25 Stüve. — 3 : § 130. — 3-5 : Olymp. I 4, p. 38, 3-6. — 6-12 : ib. I 7, p. 59, 32-60, 7. — 13-14 : § 123?
140. 1: cf. Plut., plac. III 4 ; Olymp., in met. I 9, p. 79, 12-13. — 2-3 : §§ 124, 123 ; 139. — 6-10 : Olymp. p. 80, 8-18. — 12-13 : p. 80, 30-31.

---

138. AFDLZ, SH, PB, VR 1 τῶν¹ om PB / ἀστέρων FDLS — 4 παραπλέουσιν SHVR — 5 ψυχῶν om LB / διοσκόρους LV — 6 τὸν om LP — 7 μέν: τῷ add SPBVR / τῷ: τῆς add PB — 8 τοῦ: τοῦ καὶ PB / κἀκεῖνον [A] (F) S — 11 ἀπάτης: πλάνης VR
139. AFDLZ, SWH, PB, VR 2 ὅταν AFDL : ὅταν γὰρ Ω — 3 καὶ om ZR — 4 καὶ-5 ἀστήρ om PB — 6 ἐάν-8 κομήτην AFDLZ, Olymp : om Ω — 8 τὰ σχήματα τῶν κομητῶν PB — 10 δοκίς VR — 11 ὀνομαζόμενος: καλούμενος DR
140. AFDLZ, SWH, PBE, VR 1 καὶ χαλάζης SWHPBV — 2 δὲ: δὲ καὶ SWPB / τἆλλα: πολλὰ PB — 3 γίνεται AFD / καὶ ὑετὸς SW

χάλαζα καὶ χιὼν καὶ πάχνη καὶ δρόσος ἐν τῇ ἀτμιδώδει ἀναφορᾷ, ἥτις μετὰ τὴν καπνώδη διακέχυται ὑγρὰ τὴν φύσιν ἐκ τῆς γῆς καὶ αὕτη ἀναφερομένη. αὕτη γὰρ ἡ ἀτμιδώδης ἀναθυμίασις ἡ ὑγρὰ καὶ θερμὴ ἢ ἀλλοιοῦται καὶ μεταβάλλεται εἰς ὕδωρ, καὶ εἰ μὲν λαβρότερον κατέλθῃ, ὑετὸν ποιεῖ, εἰ δὲ κατὰ μέρος ἐνεχθῇ, ψεκάδα· ἢ πήγνυται μόνον καὶ ποιεῖ χιόνα· ἢ μεταβάλλεται πρότερον, εἶθ' οὕτως πήγνυται καὶ γίνεται χάλαζα. εἰ μὲν οὖν ἄνω κουφισθῇ ἡ ἀτμίς, ταῦτα ποιεῖ· εἰ δὲ ἐν τῷ περιγείῳ σταίη ἀέρι, ἢ μεταβάλλεται καὶ ποιεῖ δρόσον, ἢ πήγνυται, καὶ γίνεται ὁ παγετός. ὁ δὲ Ἀριστοτέλης αἴτιον τούτων ἁπάντων τὴν ψύξιν λέγει.

141. Περὶ δρόσου αὖθις καὶ πάχνης. [XXXV]

Πάχνη καὶ δρόσος νηνεμίας καὶ αἰθρίας οὔσης γίνεται· πολλοῦ γὰρ ἀνέμου πνέοντος διασκίδναται ἡ ἀτμὶς ὑπὸ τῆς τοῦ πνεύματος βιαίας κινήσεως. πλὴν ἡ μὲν δρόσος ἐν τοῖς ἀλεεινοτέροις μάλιστα καιροῖς καὶ χωρίοις, ἡ δὲ πάχνη ἐν τοῖς ψυχροτέροις γίνεται· καὶ ἡ μὲν δρόσος νοτίων πνευμάτων ἐπικρατούντων συνίσταται, ἡ δὲ πάχνη βορείων· ἀναλογεῖ δὲ ἡ μὲν πάχνη τῇ χιόνι, ἡ δὲ δρόσος τῷ ὑετῷ. ἡ δὲ χάλαζα καὶ ὁ κρύσταλος ἄμφω πῆξις εἰσὶν ὕδατος. ψυχρότατον δὲ ὂν ἡ χάλαζα ἐν ταῖς θερμοτέραις ὥραις μάλιστα γίνεται, ἔαρι καὶ φθινοπώρῳ, πολλάκις δὲ καὶ τοῦ θέρους, διότι φυσικῶς ἀντιπεριΐσταται τὸ θερμὸν πρὸς τὸ ψυχρόν· καὶ ὅταν μὲν ἔξω ᾖ τὸ θερμόν, ἔνδον ἀποκλείεται τὸ ψυχρόν, ὅταν δὲ ἐκτὸς φέρηται τὸ ψυχρόν, ἔνδον συνάγεται τὸ θερμόν. ἐν οὖν ταῖς θερμοτέραις ὥραις τὸ ψυχρὸν ἔσω ἀντιπεριϊστάμενον τῷ θερμῷ ποιεῖ τὴν χάλαζαν.

142. Περὶ ἴριδος. [106]

Ἡ ἶρις, τὸ καλούμενον παρὰ τοῖς πολλοῖς οὐράνιον τόξον, τῇ φύσει μὲν ἀνυπόστατον ἐστίν, ἔμφασις δέ ἐστι καὶ φάντασμα τῆς ὁρώσης ὄψεως, ἀκτίνων ἀπὸ τῶν ὀφθαλμῶν προσπιπτουσῶν, εἶτα δὴ ἀνακλωμένων, καὶ τὸ τοῦ τόξου σχῆμα ἐμφαινουσῶν. ἔστι δὲ ὡς ἀληθῶς τόξον ἄντικρυς κατὰ τὸ σχῆμα· οὐδέποτε γὰρ φαίνεται κυκλοτερές, ἀλλ' ἀεὶ ἔλαττον ἢ πλέον κύκλου. φαίνεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἀπὸ τοῦ

---

141. 2-6: Olymp. I 10, p. 87, 28-88, 6. — 7: p. 88, 16. — 7-9: p. 88, 24-25; 27. — 10-14: cf. p. 92, 28-30; Ar., meteor. I 12, 348 b 5-8; 15-17.
142. 1: Plut., plac. III 5. — 6-7: Olymp., in met. III 2, p. 218, 1. — 7-10: p. 218, 12-16; 18. — 10-13: p. 218, 24-27; 30.

---

140. 4 ἀτμιώδει VR — 5 ὑγρὰν SWHPBE — 6 ἀτμιώδης VR — 8 κατέλθοι EVR — 12 γίνηται AF
141. AFDL* Z, SWH, PBE, VR 3 ὁ ἀτμὸς AF — 4 ἡ: ὁ A¹F — 7 χιόνι L* — 8 κρύσταλλος DZPR / πήξεις DR / ὑδάτων AFD — 10 ἀντιπερίσταται BVR — 11 καὶ-12 ψυχρόν¹ om W¹E — 11 καὶ: ἢ SWHVR — 12 συνεισάγεται SW
142. AFDZ, SWH, PBCE, VR 2 παρὰ-τόξον: τόξον παρὰ τοῖς πολλοῖς SWHVR / τὴν φύσιν SW — 3 ἐστίν, ἔμφασις δέ om VR / ἐστι om DSW / φαντασία ZC — 5 τὸ om CE / τοῦ om AFB — 6 ἀεὶ AFD, Olymp: ἢ Ω — 7 ἡμικύκλου f

ἡλίου, σπανίως δὲ ἀπὸ τῆς σελήνης· καὶ μάλιστα μὲν ἡμέρας, σπανίως δὲ νυκτός· καὶ πλεῖστον μὲν περὶ τὸν ὁρίζοντα, σπανίως δὲ περὶ τὸν μεσημβρινὸν κύκλον. πολλάκις δὲ ἐν ταυτῷ καὶ δύο φαίνονται ἴριδες. ἔστι δὲ πᾶσα ἶρις τρίχροος· ἡ μὲν γὰρ ἐντὸς αὐτῆς ζώνη φοινικῆ, ἡ δὲ δευτέρα πράσινος, ἡ δὲ τρίτη ἁλουργὸς καὶ οἷον ὑποπόρφυρος. συνίσταται δὲ ἐπὶ ἀνωμάλοις καὶ ἀνομοιομερέσι νέφεσι.

143. Περὶ ἅλω. [107]

Καὶ τὸ ὑπὸ τὴν σελήνην δὲ φαινόμενον οἷον ἁλώνιον κατ' ἔμφασιν ἐστίν, ἀλλ' οὐ καθ' ὑπόστασιν· τὰ ἐναντία δὲ ἔχει τῆς ἴριδος. ἐπὶ μὲν γὰρ τὸ πλεῖστον κύκλος φαίνεται τέλειος, σπανιώτερον δὲ ἐλάττων κύκλου· καὶ περὶ μὲν τὴν σελήνην μάλιστα, ἔλαττον δὲ καὶ περὶ τὸν ἥλιον φαίνεται· καὶ νυκτὸς μὲν πλέον, ἔλαττον δὲ ἡμέρας· καὶ περὶ μὲν τὸν μεσημβρινὸν κύκλον ὡς ἐπὶ τὸ πλεῖστον, σπανίως δὲ περὶ τὸν ὁρίζοντα· καὶ μία ἀεὶ καὶ μονόχροος, ἤτοι λευκή· καὶ συνίσταται ἐπὶ ὁμαλοῖς καὶ ὁμοιομερέσι νέφεσι. γίνεται δὲ καὶ αὕτη ἐξ ἀνακλάσεως τῆς ὄψεως. δεῖ δὲ τὸ ἔνοπτρον ἀφ' οὗ ἀνακλᾶται, πυκνὸν εἶναι καὶ λεῖον καὶ διαφανές, ἵνα ἐκεῖσε ἐμφαίνηται τὸ εἴδωλον τοῦ ὁρατοῦ. ἔστι δὲ ἡ ἀπόδειξις καὶ τοῦ τῆς ἅλω κύκλου καὶ τοῦ τῆς ἴριδος σχήματος γεωμετρική, καὶ διατοῦτο δυσπόριστος βασιλικῇ ἀκοῇ.

144. Περὶ ῥάβδων. [108]

Αἱ φαινόμεναι οἷον ῥᾶβδοι κατὰ τὸν ἀέρα οὔτε κατ' ἀντικρὺ συνίστανται τοῦ λαμπροῦ, ὥσπερ ἡ ἶρις, οὔτε κατὰ κάθετον, ὥσπερ ἡ ἅλως. φαίνονται δὲ ἡμέρας μόνον· καὶ περὶ τὸν ἥλιον μόνον· καὶ περὶ τὸν ὁρίζοντα μάλιστα τὸν δυτικόν, ἔλαττον δὲ καὶ ἐν τῷ μεσημβρινῷ· καὶ ἐπὶ ἀνωμάλων καὶ ἀνομοιομερῶν νεφῶν ὥσπερ καὶ ἡ ἶρις. εἰσὶ δὲ καὶ τρίχροοι· πολλὴ γὰρ συγγένεια ταῖς ῥάβδοις καὶ τῇ ἴριδι, πλὴν τοῦ σχήματος, ὅτι ἡ μὲν ἶρις ἀποτετμημένος κύκλος ἐστίν, αἱ δὲ ῥᾶβδοι κατ' εὐθυωρίαν τέτανται. γίνονται δὲ καὶ αὗται κατὰ ἀνάκλασιν, προσπιπτούσης τῆς ὄψεως ἀπὸ νέφους εἰς νέφος κἀκεῖθεν ἀνακλωμένης

---

143. 1: Plut., plac. III 18. — 2-3 : Olymp., in met. III 2, p. 209, 22. — 3-5 : p. 217, 28-29. — 5-8 : p. 218, 10-11; 13-14 ; 16-17. — 8-9 : p. 218, 24-25 ; 28-30. — 10-11: p. 218, 10-16. — 11-13 : cf. pp. 211-217.

144. 1: Plut., plac. III 6. — 2-4 : Olymp., in met. III 2, p. 218, 36-38. — 4-7: p. 219, 1-6. — 7-9 : cf. ib. III 6, p. 263, 10-12. — 9-11: p. 263, 28-31. — 11-13 : p. 263, 36-264, 1.

---

142. 8 σπανίως[1]: σπανιάκις PBC — 9 καί: ἢ SWH / περί[1] AFD, Olymp : ἐπὶ Ω — 11 τρίχρωμος PBC

143. AFDZ, SWH, PBC, VR 1 περὶ τοῦ φαινομένου ἐν τῇ σελήνῃ οἷον ἁλωνίου AFD περὶ τῆς ἅλω VR — 2 τὸ om A[1]F / δὲ om CR — 3 δὲ om SW — 5 τοῦ κύκλου SW / καὶ[2] om DC — 7 περί: ἐπὶ AFZ — 8 ἐπί: τοῖς add AF — 9 καὶ[1]: καὶ ἐπὶ SW — 10 πυκνὸν om SWHVR — 13 διατοῦτο: καὶ add VR

144. AFDZ, SWH, PBC, VR 1 περὶ τῶν φαινομένων ἐν τῷ ἀέρι ῥάβδων AFD — 2 οἷον om PBC — 2-3 συνίσταται AF — 3 ἡ[1] om VR — 5 καὶ om AFDC — 6 νεφῶν AFDZH, Olymp : om Ω — 7 τοῖς FPC / καὶ[2] om PB — 8 μὲν ἡ AF — 9 καὶ om VR

πρὸς ἕτερον νέφος λευκόν. ὅταν δὲ λέγῃ ὁ Ἀριστοτέλης περὶ τῶν ῥάβδων ὅτι ἐπ' αὐτῶν ἀνακλᾶται ἡ ὄψις πρὸς τὸν ἥλιον, γνῶθι ὅτι ἥλιον νῦν τὸ λευκὸν νέφος ἐκάλεσε.

145. Περὶ παρηλίων. [109]

Πολλὴν κοινωνίαν ἔχουσιν οἱ παρήλιοι πρὸς τὰς ῥάβδους· καὶ γὰρ καὶ οὗτοι ἐκ πλαγίων τοῦ λαμπροῦ γίνονται, καὶ ἡμέρας μόνον, καὶ περὶ τὸν ἥλιον μόνον, καὶ μάλιστα περὶ τὸν ὁρίζοντα τὸν δυτικὸν ἢ τὸν μεσημβρινόν. πλὴν αἱ μὲν ῥᾶβδοι ἐπὶ ἀνωμάλων γίνονται νεφῶν καὶ ἀνομοιομερῶν, ὥσπερ ἡ ἶρις, οἱ δὲ παρήλιοι ἐπὶ ὁμαλῶν καὶ ὁμοιομερῶν, ὥσπερ ἡ ἅλως· καὶ αἱ μὲν ῥᾶβδοι τρίχροοι κατὰ τὰ τῆς ἴριδος χρώματα, οἱ δὲ παρήλιοι μονόχροοι καὶ λευκοὶ κατὰ τὸ χρῶμα τῆς ἅλω. περὶ δὲ τῶν παρηλίων ἐκεῖνο χρὴ εἰδέναι, ὅτι ἡ ἀνάκλασις ἀπὸ τοῦ νέφους γίνεται πρὸς τὸν ἥλιον, τοῦ νέφους πυκνοτέρου ὄντος καὶ στερεμνίου παρὰ τὸ ἐν ταῖς ῥάβδοις καὶ ὁμαλοῦ. διὰ γὰρ τοῦτο καὶ λευκὸς φαίνεται ὁ παρήλιος, ἐπειδὴ ἀπὸ τοῦ ὁμαλοῦ ἓν καὶ ταυτὸν χρῶμα διασώζεται, καὶ ἀπὸ τοῦ πυκνοῦ ῥᾳδίως μᾶλλον καὶ συντόμως ἀνακλᾶται ἡ ὄψις.

146. Περὶ ἀνέμων. [110]

Ὁ ἄνεμος οὐκ ἔστιν ἀὴρ κινούμενος, ὡς Ἱπποκράτης ὁ Κῷος ἰατρὸς οἴεται, ἀλλ' ἐκ τῆς καπνώδους ἐστὶν ἀναθυμιάσεως. ἡ μὲν γὰρ τοῦ ἀέρος κίνησις ἔκλυτος ὑπάρχει καὶ χαλαρά, ἡ δὲ τοῦ ἀνέμου τυραννικὴ καὶ βιαιοτάτη, ὡς δηλοῦσιν οἱ σεισμοὶ οἱ κινοῦντες τὴν γῆν· οὐδὲν γὰρ ἕτερον ἐστὶν ὁ σεισμὸς εἰ μὴ ὑπόγειος ἄνεμος. τεσσάρων δὲ ὄντων, ὡς συντόμως εἰπεῖν, καθολικῶν ἀνέμων, ἀπηλιώτης μὲν καὶ ζέφυρος οὐκ εἰσὶ σφοδρότατοι, βορρᾶς δὲ καὶ νότος τυραννικώτατοι· διότι ἐν μὲν τῷ βορείῳ καὶ νοτίῳ πόλῳ, ἔνθεν ὁ βορρᾶς καὶ ὁ νότος πνεῖ, μὴ γινόμενος ὁ ἥλιος οὐ θερμαίνει τὰ ἐκεῖσε χωρία, ἀλλὰ μένει ψυχρά· ψυχρὰ δὲ ὄντα ἀεὶ ἔνικμα εἰσίν, ὥστε ὄμβρων πολλῶν γινομένων διὰ τὴν

---

145. 2-3: Olymp., in met. III 2, p. 218, 38. — 3-9: p. 219, 1-7. — 9-14: ib. III 6, p. 264, 26-30.

146. 1: Plut., plac. III 7. — 2-3: Olymp., in met. II 4, p. 168, 17; 23-24. — 3-6: p. 169, 2-3; 5-8. — 6-17: p. 170, 22-33. — 17-18: p. 170, 38-171, 1. — 18-21: p. 171, 6-8. — 21-25: p. 174, 2-6. — 25-26: p. 174, 13-14. — 26-27: p. 174, 30-175, 1. — 27-28: p. 175, 19-20; 28. — 28-31: p. 176, 28-30. — 31-35: p. 177, 15-16; 19-21. — 35-45: ib. II 5, p. 185, 26-186, 7. — 45-48: p. 186, 10-187, 1. — 48-51: p. 187, 8-10. — 51: ib. II 6, p. 196, 31-32. — 52: p. 196, 38-197, 1. — 52-53: p. 197, 15. — 53-55: Ar., meteor. II 6, 364 b 21-24. — 55-56: Olymp. p. 199, 6-8. — 56-59: p. 198, 11-15. — 59-60: cf. p. 195, 5. — 60-62: ib. II 5, p. 189, 14-15.

---

144. 11 λέγει DSPC / τῶν om PB — 12 ἀπ' SWHB

145. AFDZ, SWH, PB, VR 3 καὶ[3]-4 μόνον om DP — 4 περὶ[2] om SWPB / τοὺς ὁρίζοντας AF — 7 τὰ om SVR[1] — 11 ταῖς om DP — 12 τῆς ὁμαλῆς SW / ταυτὸ ZSWP(B) τοῦτο VR — 13 καὶ[1] om PB

146. ADZ*, SWH, PB, VR 1 καὶ σεισμῶν add SWH — 3 ἐστὶν om PB — 6 ὁ om AD — 8 τυραννικώτεροι VR — 9 ἔνθεν: ἔνθα DR ὅθεν SW — 9-10 γενόμενος SW — 11 γενομένων WPBVR

ψύξιν, εἶτα τῆς γῆς διαβρόχου γινομένης, πολλὴ καπνώδης ἀναθυμίασις ἐκδίδοται καὶ διατοῦτο σφοδροὶ ἄνεμοι γίνονται ὁ βορρᾶς καὶ ὁ νότος. ἐν δὲ τοῖς ἀνατολικοῖς καὶ δυτικοῖς χωρίοις κινούμενος ὁ ἥλιος οὐκ ἐᾷ ψύξιν γενέσθαι πολλήν, ἔνθεν οὔτε πολὺς ὑετὸς γίνεται οὔτε πολλὴ ἡ καπνώδης ἀναθυμίασις, ἅτε τῆς γῆς μὴ διαβρεχομένης, καὶ οὐ γίνονται διατοῦτο ἄνεμοι σφοδροὶ ἐντεῦθεν. πλὴν ἐν μὲν τοῖς νοτίοις μέρεσι πλείων μέν ἐστιν ἡ γῆ, οὐκ ἔνικμος δέ, ἐν δὲ τοῖς βορείοις ὀλίγη μέν, ἀλλ' ἔνικμος. διὰ γὰρ τὴν ψύξιν ὄμβροι γίνονται, καὶ διὰ τὸ ἔνικμον τῆς γῆς πολλὴ γίνεται ἡ καπνώδης ἀναθυμίασις, ἀλλ' οὐ διὰ τὸ πλῆθος αὐτῆς. ἔνθέν τοι καὶ οἱ σφοδροὶ ἄνεμοι ἀπὸ τῶν νοτίων εἰσὶ καὶ τῶν ἀρκτῴων μερῶν, ὡς ἂν ἐκεῖ γινομένης πολλῆς καπνώδους ἀναθυμιάσεως· ἐν γὰρ τῇ ἀνατολῇ καὶ τῇ δύσει οὐ γίνονται σφοδροί, ἅτε τοῦ ἡλίου ἐκδαπανῶντος τὴν ἐκεῖσε γινομένην ἀναθυμίασιν καὶ οὐκ ἐῶντος ὑποστῆναι. καλοῦνται δὲ οἱ ἀπὸ τῆς ἄρκτου βορέαι, οἱ δὲ ἀπὸ τῆς μεσημβρίας νότοι. αἰτία δέ ἐστι τῆς λοξῆς τοῦ ἀνέμου κινήσεως ἡ τοῦ παντὸς κυκλοφορία, τὴν καπνώδη ἀναθυμίασιν κάτωθεν ἀνιοῦσαν πλανῶσα καὶ τῇδε κἀκεῖσε μεταφέρουσα. γίνονται δὲ οἱ βόρειοι ἐτήσιοι ἄνεμοι μετὰ εἴκοσιν ἡμέρας τῆς θερινῆς τροπῆς, μετὰ τὴν τοῦ κυνάστρου ἐπιτολήν. τηνικαῦτα γὰρ τῆς χιόνος λυομένης γίνονται αὖραι ψυχραὶ βόρειοι, αἵτινες ἐτησίαι λέγονται. εἰσὶ δὲ καὶ νότιοι ἐτησίαι ὡς ἀπὸ τοῦ πρὸς τὸ πᾶν νότου, ἀλλ' ἡμῖν ἀνεπαίσθητοι, εἰσὶ δὲ καὶ ἀπὸ τοῦ καθ' ἡμᾶς νότου ἐτήσιοι ἄνεμοι· οὗτοι δὲ μετὰ ἑβδομήκοντα ἡμέρας τῆς χειμερινῆς τροπῆς ἄρχονται πνεῖν, τοῦ ἡλίου ὄντος ἐν ἰχθύσι. καὶ ἀπὸ μὲν τῆς ἰσημερινῆς δύσεως πνεῖ ὁ ζέφυρος, ἀπὸ δὲ τῆς ἀνατολικῆς ἰσημερίας πνεῖ ὁ ἀπηλιώτης. καὶ αὖθις ἀπὸ μὲν τοῦ ἀρκτικοῦ πόλου πνεῖ ὁ ἀπαρκτίας, ἀπὸ δὲ τοῦ νοτίου πόλου πνεῖ ὁ νότος. καὶ πάλιν ἀπὸ μὲν τῆς θερινῆς ἀνατολῆς πνεῖ ὁ καικίας, ἀπὸ δὲ τῆς χειμερινῆς δύσεως πνεῖ ὁ λίψ. καὶ ἀπὸ μὲν τῆς χειμερινῆς ἀνατολῆς ἔξεισιν ὁ εὖρος, ἀπὸ δὲ τῆς θερινῆς δύσεως πνεῖ ὁ ἀργέστης, ὃν ὁ Πτολεμαῖος ἰάπυγα προσαγορεύει. καὶ οὗτοι μὲν οἱ ὀκτὼ ἄνεμοι κατὰ διάμετρον ἀλλήλων εἰσίν. ἕτερος δὲ ἄνεμος ἀπὸ τῆς μιᾶς τομῆς ἐστι τοῦ ἀρκτικοῦ πόλου, καὶ καλεῖται βορέας ἢ μέσης, μεταξὺ πνέων καικίου καὶ ἀπαρκτίου· ἄλλος δὲ ἀπὸ τῆς ἄλλης τομῆς τοῦ ἀρκτικοῦ, καὶ καλεῖται οὗτος θρασκίας, μεταξὺ ὢν ἀπαρκτίου καὶ ἰάπυγος. πάλιν δὲ ἀπὸ τῆς μιᾶς τομῆς τοῦ νοτίου πόλου πνεῖ ὁ εὐρόνοτος, μεταξὺ ὢν εὔρου καὶ νότου· ἀπὸ δὲ τῆς ἑτέρας τομῆς ὁ λιβόνοτος, μεταξὺ ὢν λιβὸς καὶ νότου, ὃς καὶ φοινικίας καλεῖται. καὶ τὰ μὲν βόρεια πνεύματα πολλὰ μέν, οὐκ εὔτονα δέ, διὰ τὸ ἀπὸ πολλῆς ὑγρότητος πνεῖν· τὰ δὲ νότια ὀλίγα μὲν διὰ τὴν ἔνδειαν τῆς ὕλης, εὔτονα δὲ διὰ τὴν τῆς γῆς

---

146. 12 γενομένης DZVR / πολλή: καὶ add SWH — 13 ἐνδίδοται SW — 15 γίνεσθαι WPBVR / ἔνθεν δὲ VR — 15-16 ἡ πολλὴ VR — 16 ἡ om DPB — 18 πλεῖον DP — 19 μέν: μὲν ἡ γῆ D, Olymp — 22 ἐκεῖσε AD — 24 ἐκεῖ SW / γενομένην VR om AD — 25 οἱ[1] AD, Olymp : οἱ μὲν Ω / τῆς: τοῦ PR — 26 ἀπὸ om PB / τῆς[1] om DB — 29 ἐτησίαι [SW]PBVR — 31 αὖραι: οὗτοι PB / ψυχροὶ PB / οἵτινες PB / ἐτήσιαι AW -οι D / καὶ om SWHVR — 32 ἐτήσιοι Z* / ἐτήσιαι AW — 35 ἡμερινῆς SH — 36 μὲν hic AWPB post πόλου SW post ἀρκτικοῦ VR om D — 37 νοτίου: νότου PBV / πόλου: πάλιν PB om D — 39 καὶ om SW — 42 εἰσίν om SW — 43 βορρᾶς AD / μέσος APB μέσεος D — 44 τῆς om AD — 49 ὑπὸ A[D]

ξηρότητα. τούτων τῶν ἀνέμων ἐπινέφελοι μὲν καικίας καὶ βορέας, ἀστραπαῖοι δὲ βορέας, ἀπαρκτίας, θρασκίας καὶ ἀργέστης, ἐκνεφίας δὲ ὁ βορρᾶς· καὶ νιφετώδης μὲν μέσης καὶ ἀπαρκτίας, χαλαζώδης δὲ ἀπαρκτίας καὶ θρασκίας καὶ ἀργέστης, καυματώδης δὲ νότος καὶ ζέφυρος καὶ εὖρος. ὁ δὲ ζέφυρος κατ' οὐσίαν μέν ἐστι ψυχρός, καθὸ δὲ ἐν τῷ θέρει πνεῖ νοθευόμενος θερμαίνεται. ὁ δὲ βορέας διὰ τὸ πλῆθος τῆς ἀναθυμιάσεως ἀεὶ ἀποσοβεῖ τὰ νέφη καὶ εὐδίαν ποιεῖ, πλὴν ὅταν μὴ ψυχρὸς πνεῖ· εἰ δὲ εἴη ψυχρός, παχύνει τὴν ἀτμίδα πρὶν ἢ ἀποσοβῆσαι τὸ νέφος καὶ ποιεῖ ὑετόν. καὶ οἱ μὲν κατ' ἀντικρὺ ἄνεμοι οὐ δύνανται ἅμα πνεῖν, οἱ δὲ μὴ κατ' ἀντικρὺ δύνανται. ὁ δὲ καθ' ἡμᾶς νότος οὐκ ἀπὸ τοῦ νότου τοῦ παντὸς πνεῖ, ἀλλ' ἀπὸ τοῦ θερινοῦ τροπικοῦ.

147. Περὶ τυφῶνος. [111]

Ὁ τυφὼν ἄνεμος ἐστίν, ὃν ὁ μὲν Ὅμηρος θύελλαν ὀνομάζει, ὁ δὲ Ἀριστοτέλης ἀπὸ τοῦ παχὺ εἶναι τὸ πνεῦμα καὶ οἷον τύπτειν τὸ παρατυχόν, τυφῶνα. αἰτία δὲ τούτου ἀτμὶς παχεῖα ἄνωθεν ἀπὸ τῶν νεφῶν φερομένη κατ' εὐθὺ ἐπὶ τὸ κάταντες ἢ κατὰ γῆς ἢ κατὰ θαλάσσης, ἥτις προσπταίουσα τινὶ ἀντιτύπῳ σώματι ἀναπάλλεται εἰς τοὐπίσω. ἐπειδὴ δὲ κωλύεται τὸ ἀναπαλλόμενον αὐτῆς μέρος εἰς τοὐπίσω ἀναπάλλεσθαι ὑπὸ τοῦ ὄπισθεν ἐπακολουθοῦντος αὐτῇ μέρους, ἐπὶ τὰ πλάγια διακλᾶται· εἶτα κἀκεῖσε ἀντιτύπῳ συναντήσασα μέρει πάλιν διασκορπίζεται, καὶ γίνεται ἕλιξ ἤτοι συστροφὴ τοῦ ἀνέμου, μετεωρίζουσα καὶ ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῆς θαλάσσης τὰ ἐπιτυχόντα σώματα. οὗτος ἐστὶν ὁ ἄνεμος ὁ καλούμενος παρά τινων σίφων.

148. Περὶ ἐκνεφίου. [112]

Ἄνεμος ἐστὶ καὶ ὁ ἐκνεφίας σχεδὸν ὁ αὐτὸς τῷ τυφῶνι. πλὴν ὁ μὲν ἐκνεφίας οὐχ' ὁρᾶται, ὁ δὲ τυφὼν ὁρᾶται διὰ τὸ παχυμερεστέραν οὐσίαν συνεφέλκεσθαι ἐκ τοῦ νέφους τὴν καπνώδη ἀναθυμίασιν. καὶ τὸν μὲν ἐκνεφίαν παύει ὑετός, τὸν δὲ τυφῶνα οὐχ' ἱκανός ἐστι παῦσαι, ἀλλ' ὁ βορρᾶς αὐτὸν κατασβέννυσιν. οὐδὲν δὲ ἕτερον ἐστὶν ἐκνεφίας ἢ τυφὼν ἐπιτεταμένος· καὶ ὅσον μὲν κατὰ τὸ εἶδος ταυτόν ἐστιν ἐκνεφίας καὶ τυφών, κατὰ δὲ τὴν ἐπίτασιν καὶ ἄνεσιν διαφέρουσιν. ὁ μὲν γὰρ τυφὼν ἐπιτεταμένος ἐστὶν ἐκνεφίας, ὁ δὲ ἐκνεφίας ἀνειμένος τυφών. πολλάκις δὲ οἱ μὲν ἀπὸ ψυχρῶν τόπων πνέοντες ἄνεμοι νοθευόμενοι διὰ μέσων θερμῶν τόπων θερμοὶ καταπνέουσιν· οἱ δὲ ἀπὸ θερμῶν κεραννύμενοι ψυχρῷ διὰ μέσου ἀέρι ψυχροὶ διαρρέουσι.

---

147. 1: cf. Plut., plac. III 3. — 2-4 : Olymp., in met. III 1, p. 200, 16-17. — 4-11: p. 200, 6-15. — 12 : p. 200, 18.

148. 2-6 : Olymp. p. 201, 25-27; 30-33. — 6-10 : p. 201, 21-24. — 10-12 : cf. ib. II 3, p. 161, 3-8.

---

146. 52 ἀπαρκτίας, βορέας SWH — 53 μέσος APB — 57 ποιεῖ: πνεῖ PB — 58 πνῆ PB om VR — 60 οἱ-δύνανται[2] AD : om Ω — 61 τοῦ[1] om SVR

147. AD, SWH, PB, VR 3 τύπτον SHV — 5 γῆς ἢ κατὰ A(D), Olymp : τῆς Ω — 6 ἀντιτύπω τινὶ PB — 7 ἀντιπαλλόμενον VR / αὐτοῦ VR — 10 σκορπίζεται VR

148. AD, SWH, PB, VR 2 καὶ om SWH — 6 βορέας VR — 8 ὁ-10 τυφὼν om D — 9 ὁ δὲ ἐκνεφίας om SWVR[1] / ἀνειμένος δὲ SW — 12 ἀέρος SWPB

149. Περὶ κεραυνοῦ. [113]

Ὁ κεραυνὸς οὐκ ἔχει τὸ φλέγον, λεπτομερὴς γάρ ἐστιν ἡ οὐσία αὐτοῦ, ὅθεν ταχέως διερχόμενος τὰ σώματα διὰ τὴν λεπτότητα οὐ καταφλέγει αὐτά. ἔνθέν τοι καὶ κεραυνὸς ὠνόμασται ἀπὸ τοῦ εὐκραὴς εἶναι καὶ μὴ φλέγειν. πάνυ γὰρ λεπτομερέστερος ὤν, ὡς εἴρηται, ὀξύτατα τὸ σῶμα δίεισιν, ὡς μήτε καίειν μήτε μελαίνειν· ὅθεν καί τινες ἀργήεντα τοῦτον ὠνομάκασιν ἤτοι λαμπρόν, ἄργενον γὰρ τὸ λευκόν. εἰ γὰρ καὶ πῦρ ἐστὶ καὶ φύσει ἔχει τὸ καίειν, ἀλλ' ἡ λεπτότης καὶ ἡ ταχυτὴς τῆς διόδου μὴ ἐγχρονίζουσα τῷ σώματι ἄκαυστον τοῦτο ἐᾷ. πᾶν γὰρ τὸ καῖον οὐ μόνον μεγέθους οἰκείου δεῖται πρὸς τὴν καῦσιν, ἀλλὰ καὶ τοῦ ἐμβραδῦναι τῷ καυστῷ σώματι. παρὰ ταύτην οὖν τὴν αἰτίαν οὐ φλέγει ὁ κεραυνός.

150. Περὶ πρηστῆρος. [114]

Ὁ πρηστὴρ καταφλέγει, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα· πρηστὴρ γὰρ ἀπὸ τοῦ ἐμπιπρᾶν ὠνόμασται. φλέγει δὲ διὰ τὸ συνεπισπᾶσθαι μεθ' ἑαυτοῦ παχυμερεστέραν οὐσίαν ἐκ τοῦ νέφους καὶ ταύτην ἐκπυροῦν. τούτου δὲ τοῦ πρηστῆρος καὶ προηγεῖται πνεῦμα· καὶ τοῦτο δῆλον ἐκ τοῦ τὰ μέλλοντα ἐμπιπρᾶσθαι πρῶτον ὑπὸ πνεύματος ῥήγνυσθαι, τὸ γὰρ πνεῦμα τοῦ πρηστῆρος θειῶδες ὂν πλήττει καὶ ῥήγνυσιν, ὅθεν καὶ τὰ κεραυνωθέντα μένει διεστηκότα ἐπὶ χρόνον τινά· τοῦτο δὲ τὸ πνεῦμα οὐ προηγεῖται μόνον, ἀλλὰ καὶ σύνεστι τῷ πρηστῆρι καὶ ἐπακολουθεῖ. σποράδην δὲ διαχεόμενον καὶ λεπτομερέστερον ὂν βροντὰς ποιεῖ καὶ ἀστραπάς, καὶ ἐξαφθὲν μὲν ποιεῖ κεραυνὸν καὶ ἀστραπὴν καὶ πρηστῆρα, μὴ ἐξαφθὲν δὲ ἐκνεφίαν καὶ τυφῶνα. πάντα δὲ ταῦτα κατὰ ἐκπυρηνισμὸν γίνονται.

151. Πῶς συνέστη ὁ κόσμος. [115]

Τὴν σύστασιν ὁ κόσμος ἔλαβεν ἀπὸ τῆς φύσεως καὶ κινήσεως τῶν στοιχείων. ἐπειδὴ γὰρ τούτων τὰ μὲν εἰσὶ κουφότατα, οἷον πῦρ καὶ

---

149. 1: cf. Plut., plac. III 3. — 2-7: Olymp., in met. III 1, p. 202, 2-7. — 8-12 : cf. p. 208, 10-14 ; Ar., meteor. III 1, 371 a 21-23.

150. 1: cf. Plut., plac. III 3. — 2-6 : Olymp., in met. III 1, p. 202, 11-16. — 7-8 : p. 202, 23-24. — 8-10 : p. 202, 14-15. — 10-11: p. 203, 4-6 (Ar., meteor. III 1, 370 b 4-7).— 12-13 : Olymp. p. 203, 2-3.

151. 1: Plut., plac. I 4. — 4-8 : ib. p. 289, 7-290, 13 Diels. — 8-11: p. 290, 30-291, 7. — 11-12 : p. 290, 24-26.

---

149. AD *Z, SWH, PBE, VR 1 κεραυνῶν VR — 3 οὐ *Z — 5 λεπτομερέστατος ZSWHPBE — 6 τὰ σώματα DH / ὡς ADZ, Olymp : ὥστε Ω — 7 ἀργήεντα AD (qui -ε(-) Z : ἄργητα PE ἀργῆτα Ω / ὠνόμασαν AD / ἄργενον AD (-ὸν Olymp): ἄργεν PE ἀργὸν Ω — 10 πρὸς τὸ καῦσαι SW πυρὸς τοῦ καῦσαι VR

150. A *FDZ, SWH, PB, VR 6 ὑπό: τοῦ add PB — 7 γὰρ om SWV — 10 λεπτομερέστατον SWH — 11 κεραυνὸν ποιεῖ AD[Z] — 11-12 καὶ ἀστραπὴν om PB — 12 μὴ *F — 12-13 ταῦτα δὲ πάντα VR — 13 ἐμπυρηνισμὸν ZP ἐκπυρανισμὸν (V)R / γίνεται DZB

151. AZ, SWH, PBE, VR 1 συνέστηκεν Zf, Plut — 3 τὸ πῦρ PBEVR

ἀήρ, τὰ δὲ βαρύτατα, οἷον ὕδωρ καὶ γῆ, τὰ μὲν ὅσα βαρύτατα κάτω τοῦ παντὸς ὑπεκάθητο, τὰ δ' ὅσα κουφότατα εἰς τὸ μετέωρον ἐξεθλίβετο, τὰ δ' αὐτὰ ταῦτα καὶ εἰς τὸ πέριξ ἐφέρετο. πᾶν δὲ τὸ ἀπὸ γῆς φερόμενον ἄνω ἐστί. διὰ ταύτην οὖν τὴν αἰτίαν οἷον περικεκλασμένος καὶ κυρτὸς ὁ κόσμος ἐστί. συνθλιβομένων δὲ τῶν σωμάτων ἀλλήλοις ἡ τοῦ ὕδατος ἐγεννήθη φύσις, ῥευστικῶς δὲ τοῦτο καταφερόμενον ἐκοίλανε τοὺς ὑποκειμένους τόπους καὶ τοὺς καλουμένους κόλπους θαλαττίους ἐποίησεν. ἐκ μὲν οὖν τῶν ὑποκαθιζόντων σωμάτων ἐγεννήθη ἡ γῆ, ἐκ δὲ τῶν μετεωριζομένων οὐρανός, πῦρ, ἀήρ.

152. Εἰ ἓν τὸ πᾶν. [116]

Οὐ πολλοὶ κόσμοι σωματικοὶ κατ' ἐνίους τῶν φιλοσόφων εἰσίν, ἀλλ' εἷς καὶ τέλειος. καὶ οὐδὲ κυρίως ἓν ὀνομάζεται — πῶς γὰρ ἓν ὁ κόσμος σύνθετος ὢν καὶ πολυμερής; — ἀλλὰ διὰ τὴν πρὸς ἄλληλα τῶν μερῶν αὐτοῦ ἕνωσιν τὴν τοῦ ἑνὸς ἔσχε προσηγορίαν. κυρίως γὰρ ἓν ὁ θεὸς ὡς ὑπὲρ πᾶσαν ἁπλότητα· ὅσα δὲ μετὰ θεὸν οὐ κυρίως ἕν, ἀλλὰ διὰ τὴν ἕνωσιν καὶ τὴν μετοχὴν τοῦ ἑνὸς οὕτω προσαγορεύεται. καὶ γὰρ καὶ ὁ νοῦς ἕν ἐστι καὶ πολλά· ὅσα γὰρ τὰ ὄντα, τοσαῦτα καὶ ὁ νοῦς, ἐπεὶ καὶ τὰ παραδείγματα τούτων ἐν ἑαυτῷ περιέχει. πολλὰ καὶ ἡ ψυχή, διαιρετὴ γάρ· πολλῷ πλέον τὰ στοιχεῖα τὲ καὶ τὰ σώματα. ἀλλ' ἐπειδὴ ἑνώσεως ἀκριβοῦς καὶ ὁ κόσμος κεκοινώνηκεν, ἓν διὰ τὴν ἕνωσιν ὀνομάζεται· καὶ διὰ τὴν τελειότητα τῶν στοιχείων αὐτοῦ εἷς ἐστι καὶ μόνος, ἀλλ' οὐ κόσμοι πολλοί.

153. Περὶ κενοῦ. [117]

Τὸ κενὸν οὐ πάντες, ἀλλ' ἔνιοι τῶν φιλοσόφων εἰσήνεγκάν τε τῷ λόγῳ καὶ ὠνομάκασιν. ἀποφαίνονται δὲ τοῦτο πάντη σώματος ἔρημον, οἷόν τι χάος ἀόρατον, καὶ φασὶ τοῦτο προϋποκεῖσθαι τοῦ κόσμου· εἶτα τῶν στοιχείων γεγονότων καὶ τοῦ οὐρανοῦ τῇ κυκλοφορίᾳ τὰ σώματα πάντα συσφίγξαντος κενὸν μὲν ἐντὸς μηδὲν ἀπολελεῖφθαι, τὸ δ' ἐκτὸς τῆς ἔξω περιφερείας αὐτοῦ ὅλον κενὸν εἶναι, ἄπειρον ἐν ἀπείρῳ τόπῳ ἐμφανταζόμενον. τοῦτον δὲ τὸν λόγον Ἀριστοτέλης μὲν ἀπογινώσκει παντάπασι, καὶ οὐδαμοῦ τίθεται οὔτε ἐντὸς τοῦ κόσμου οὔτε ἐκτός· Κλεομήδης δὲ ὁ φιλόσοφος ἐντὸς μὲν τοῦ κόσμου οὔ φησιν εἶναι τὸ κενόν, ἐκτὸς δὲ καὶ πάνυ βιάζεται.

---

152. 1: ib. I 5.
153. 1: ib. I 18. — 8-9: ib. p. 315, 20-21; 338, 20-21 (Ar., phys. IV 8). — 10-11: Plut. p. 316, 8-10; Cleom., circ. doctr. I 1.

---

151. 4 ὁ ἀὴρ BV — 6 πέριξ ἐφέρετο: πῦρ ἐξεφέρετο PBEVR / τῆς γῆς SWPBE — 7 διὰ-8 ἐστί om SWH — 9 ἐγενήθη ZBVR / ῥευστῶς ZSW — 10 κοιλουμένους VR / κόλπους: τόπους VR — 11-12 ἐγενήθη ZWBV — 12 ἡ om PB

152. AZ, SWH, PBE, VR 2 εἰσίν om PB — 3 καὶ[1] om PBEVR — 6 ὁ om VR — 7 τὴν[2] om VR — 9 τὰ om [A]SWVR — 12 τὸ τελειότατον SW — 13 οὐχὶ SW

153. AZ, SWH, PB, VR 3 ἀποφαίνεται S[1]H — 8 μὲν om ZPB — 11 καί: οὐ SWH

154. Περὶ τόπου. [118]

Ὁ τόπος, ὡς αὐτὸ τοὔνομα δηλοῖ, πρᾶγμα ἐστὶ δεκτικὸν σώματος ἢ ἀσωμάτου φύσεως. ἐπεὶ οὖν ἡ ὕλη τὸ εἶδος δέχεται, τόπος ἂν λέγοιτο ἡ ὕλη τοῦ εἴδους· ἀσώματον δὲ τὸ εἶδος. πάλιν ἐπεὶ τὸ διάστημα ἔρημον ὂν καὶ κενὸν σώματα δύναται δέξασθαι, τόπος σωμάτων εἴη ἂν τὸ διάστημα. κυρίως δὲ τόπος ἐστὶ τὸ ἔσχατον τοῦ περιέχοντος μέρος τὰ σώματα. οἷον ὁ ἀὴρ περιέχει τὰ φυσικὰ σώματα, ἀλλ' οὐ πᾶς ὁ ἀήρ· οὐ γὰρ καὶ ὁ ἐν τοῖς ὄρεσιν ἢ ὁ πλησίον τοῦ οὐρανοῦ, ἀλλὰ τὸ ἔσχατον μέρος αὐτοῦ περιέχει ἡμᾶς· αὕτη οὖν ἡ τελευταία τοῦ ἀέρος ἐπιφάνεια τόπος ἐστὶ τῶν ἡμετέρων σωμάτων.

155. Περὶ χώρας. [119]

Χώρα ἐστὶ κατὰ τοὺς ἀριθμητικοὺς τὸ νοητὸν τῶν ἀριθμῶν διάστημα, οἷον τὸ μεταξὺ τοῦ ἑνὸς καὶ τῶν δύο, καὶ τοῦ β' καὶ τοῦ γ', καὶ τοῦ γ' καὶ τοῦ δ', καὶ ἐφεξῆς. ἐπεὶ γὰρ οὐ συνεχής ἐστιν ἡ τάξις τῶν ἀριθμῶν ἀλλὰ διῃρημένη, τὰ μεταξὺ τῶν ἀριθμῶν διαστήματα χώρας ἐπωνομάκασι. χώραν πάλιν τινὲς τῶν φιλοσόφων εἰρήκασι τὴν μερικὴν τοῦ περιέχοντος τὸ σῶμα περιοχήν. οἷον ὁ πίθος περιέχει τὸν οἶνον· ὑποκείσθω δὲ καὶ ὁ οἶνος περιχειλής· ἀλλ' οὐχ' ὅλον τὸ σῶμα τοῦ πίθου τὸν οἶνον ἐδέξατο, ἀλλὰ μόνη ἡ κοίλη αὐτοῦ περιφέρεια. τοῦτο γοῦν τὸ μέρος χώραν φασὶ τῶν φυσικῶν φιλοσόφων τινές· οὐκ ἀπεικότως δὲ τοῦτο καὶ τόπον τὶς ὀνομάσειε.

156. Εἰ ἔμψυχος ὁ κόσμος. [120]

Ὁ μὲν καθ' ἡμᾶς λόγος οὐδὲ ἀκροθιγῶς τοῖς ὠσὶν ἔμψυχον εἶναι τὸν κόσμον προσίεται, προνοίᾳ μέντοιγε διοικούμενον. οἱ δὲ τελεώτεροι τῶν φιλοσόφων, Πλάτων καὶ Ἀριστοτέλης καὶ ὅσοι τούτοις ἐξηκολούθησαν, καὶ ἔμψυχον καὶ ἔννουν σαφῶς ἀπεφήναντο. ἐγκεῖσθαι δὲ οὐ τὰς ψυχὰς ἔν γε τῷ οὐρανῷ καὶ ταῖς ὑποκειμέναις σφαίραις, ἀλλ' ἀνάπαλιν τὰ σώματα τῶν θειοτέρων ψυχῶν ἠρτῆσθαι διωρίκασι. διοικεῖσθαι μέντοιγε καὶ ὑπὸ φύσεως αὐτὰ νενομίκασιν, οὐκ ἀντικεῖσθαι μέντοιγε τὴν φύσιν οὔτε ταῖς ψυχαῖς τούτων οὔτε ταῖς νοεραῖς διατάξεσιν, ἀλλ' ὑπ' αὐτῶν μάλιστα κατευθύνεσθαι. ἀλλ' οὐδὲ δεσμεῖσθαι τὰς ψυχὰς ἢ τοὺς νοῦς τοῖς τούτων ᾠήθησαν σώμασιν, ἀλλ' ὑπ' ἐκείνων ἐξάπτεσθαί τε καὶ καταλάμπεσθαι.

---

154. 1: Plut., plac. I 19. — 3-4, 6-7: ib. p. 317, 2-7.
155. 1: ib. I 20. — 6-10: ib. p. 317, 13-14.
156. 1: ib. II 3.

---

154. AZ, SWH, PB, VR 2 Ὁ om SW — 5 ἂν om SW — 6 μέρους AZP[B]R — 9 αὕτη: αὐτὴ AV / τελευταία AZ : om Ω
155. AZ, SWH, PB, VR 2 τῶν: ἡ τῶν S ἢ τῶν H — 3 καὶ τοῦ γ' om VR — 4 καὶ²: καὶ τοῦ VR — 5 διῃρημένα PB — 8 καὶ AZPB : om Ω
156. AZ, SWH, PBE, VR 6 γε AZPBE : τε Ω — 7 ψυχῶν om VR — 8 μέντοι SWPBEVR / ἀπὸ SW / φύσιν VR — 12 τε AZBE : om Ω

157. Εἰ ἀγέννητος ὁ κόσμος καὶ ἄφθαρτος. [121]

Οὔτε ἀγέννητος παρ' ἡμῖν ὁ κόσμος δοξάζεται οὔτε ἄφθαρτος, γεγενῆσθαι τὲ γὰρ αὐτὸν παρὰ τῆς γραφῆς καὶ φθαρήσεσθαι μεμαθήκαμεν. Ἀριστοτέλης δὲ καὶ ἀγέννητον αὐτὸν καὶ ἄφθαρτον τίθεται. Πλάτων δὲ γεννᾷ μὲν αὐτὸν ἐν τῷ Τιμαίῳ, ἀποφαίνεται δὲ μὴ φθαρήσεσθαι τὸν ἅπαντα χρόνον. καὶ ἐπειδὴ ἀντίκειται αὐτῷ, πῶς σύνθετος ὢν οὐ φθαρήσεται· πᾶν γὰρ τὸ σύνθετον καὶ διαλυτόν· διαστέλλεται λέγων ὅτι ὅσον μὲν ἐπὶ τὴν φύσιν φθαρτός ἐστι, σῶμα γὰρ οὐ χωρεῖ ἀϊδιότητα, ἀλλὰ τὸ ἄφθαρτον ἐπεισάκτως παρὰ τοῦ θεοῦ κομίζεται. ὁ δέ γε Πρόκλος ἐν τοῖς ἐξηγητικοῖς τοῖς πρὸς τὸν Τίμαιον λόγοις πειρᾶται δεικνύναι βιαιότερον, ὅτι μηδὲ γεννητὸν ὁ Πλάτων τὸν κόσμον οἴεται, ἀλλὰ κατὰ μὲν τὸν χρόνον ἀγέννητον ἀποφαίνεται, κατὰ δὲ τὴν σύνθεσιν ἐπινοίᾳ γεννητόν.

158. Εἰ τρέφεται ὁ κόσμος. [122]

Οὐ πόρρω μοι εὐηθείας δοκοῦσιν εἶναι οἱ τρέφεσθαι τὸν κόσμον ὑπολαμβάνοντες, εἴτε τὸν οὐρανὸν μόνον κόσμον κατονομάζουσιν ὡς ὁ Πλάτων ἐν τῷ Τιμαίῳ, εἴτε μετὰ τοῦ αἰθέρος καὶ τὰ στοιχεῖα. εἰ γὰρ τελεώτατος κατ' αὐτοὺς ὁ κόσμος, μάλιστα δὲ καὶ ἀΐδιος, πῶς ἂν δεηθείη τροφῆς; τὸ γὰρ ἀτελὲς καὶ τὸ ἐνδεὲς τρέφεται, ἀλλ' οὐχὶ τὸ πλῆρες καὶ ἀνενδεές. εἰ δὲ τὸ τρέφον προσθήκην τῷ τρεφομένῳ ποιεῖ καὶ αὔξησιν, αὐξηθείη ἂν καὶ ὁ κόσμος τρεφόμενος, ἀλλὰ καὶ φθίνοι κενούμενος, ὥστε μείζων ὁ κόσμος ἑαυτοῦ καὶ ἐλάττων γενήσεται· τοῦτο δὲ πρὸς τῷ ἀτόπῳ καὶ γελοῖον ἄντικρυς. εἰ οὖν οὔτε αὐξήσεως δεῖ τῷ κόσμῳ οὔτε κενώσεως, οὔτε τροφῆς ἂν αὐτῷ δεήσοι ποτέ.

159. Περὶ τάξεως κόσμου. [123]

Ἐναντίως πρὸς ἀλλήλους οἱ τῶν Ἑλλήνων σοφοὶ τὰ μέρη τοῦ κόσμου τιθέασι. τὸ δ' ἀληθὲς ὁ μὲν οὐρανὸς ὡς καὶ μέγιστον σῶμα καὶ κυκλικὸν καὶ τὰ στοιχεῖα χωρεῖν καὶ συνέχειν δυνάμενον ἐκτὸς τούτων ἐξῳκοδόμηται. ὑπὸ δὲ τὴν κοίλην αὐτοῦ ἐπιφάνειαν πρῶτον μὲν τὰ ἀπλανῆ τῶν ἄστρων τετάχαται καὶ ὁ ζωδιακὸς κύκλος, εἶτα αἱ τῶν

---

157. 1: ib. II 4. — 3-4: Gen. 1¹; II Petr. 3¹⁰. — 4: Ar., de caelo I 10-12; frg. 17 R. — 5-9: Pl., Tim. 41 A-B; Plut. p. 330, 15-331, 3. — 10-13: Procl., in Tim. I pp. 276-296 Diehl.

158. 1: Plut., plac. II 5. — 3-4: Pl., Tim. 28 B.

159. 1: Plut., plac. II 7.

---

157. AZ, SWH, PBE, VR 1 Εἰ: περὶ τοῦ εἰ SWH / ἀγένητος SW γεννητὸς R γενητὸς V — 2 ἀγένητος SWV — 3 τὲ om ZR / παρὰ: ὑπὸ PB — 4 καὶ¹ om PB / ἀγένητον ZSWV — 7 οὐ: καὶ VR — 8 τῇ φύσει ZPBE — 9 τοῦ om PB — 10 τοῖς² om PB / τὸν AZE: om Ω — 11 γενητὸν ZSWV — 12 ἀγένητον ZSW / ἀγέννητον: οἴεται ἢ μᾶλλον εἰπεῖν add VR — 13 γενητόν ZSWV

158. AZ, SWH, PBE, VR 2 εἶναι δοκοῦσιν VR — 3 τὸν om VR / κόσμον μόνον SW — 6 δεηθῇ SWE / τὸ² om VR — 7 τῷ τρεφομένῳ προσθήκην ER — 11 κενώσεως AZ: κινήσεως Ω

159. ALZ, SWH, PB, VR 1 κόσμου om SH — 2 ἐναντία SWVR — 5 πρῶτα VR — 6 τέτακται AL

πλανωμένων ἄστρων σφαῖραι τὲ καὶ φοραί, ὧν ἡ σελήνη τὸ τελευταῖον· ὑπὸ δὲ ταύτην εὐθὺς τὸ ὑπέκκαυμα, οἷον ἡ τοῦ πυρὸς δύναμις, εἶτα ὁ ἀήρ, καὶ μετὰ τοῦτον τὸ στοιχεῖον τοῦ ὕδατος, τελευταῖον δὲ τὸ τῆς γῆς σῶμα τεθεμελίωται. καὶ πάντα μὲν ἐν πᾶσιν ἐστίν, ἕκαστον δὲ τῶν στοιχείων ὁλότητα τινὰ περιγεγραμμένην ἔχει, καὶ πάντα ἀλλήλοις ἔγκειται καὶ παράκειται.

160. Τίς ἡ αἰτία τοῦ τὸν κόσμον ἐγκλιθῆναι. [124]

Θαυμάζω τῶν φιλοσόφων ἐνίων μεταπεσεῖν τὸν κόσμον μετὰ τὴν πρώτην οἰομένων δημιουργίαν ὥσπερ ἐξολισθήσαντα τῆς οἰκείας τάξεως, καὶ τὸν μὲν βόρειον πόλον μετεωρισθῆναι, ὑπόγειον δὲ γενέσθαι τὸν νότιον, καὶ τὴν ἰσημερινὴν ζώνην ἐπὶ τὴν μεσημβρίαν μετακλιθῆναι. τοσοῦτον γὰρ ἠγνοήκασιν, ὅτι παρὰ τὴν διάφορον τῶν κλιμάτων θέσιν οἱ πόλοι νῦν μὲν ἐπὶ τοῦ ὁρίζοντος κύκλου ἑστήκασι καὶ ἀμετάθετον τὸ πᾶν συντηροῦσι, τοῖς δὲ τὸ βόρειον κλίμα λαχοῦσιν οἰκεῖν ὁ μὲν ἐκεῖσε πόλος μετέωρος φαίνεται καὶ ἀειφανής, ὁ δὲ νότιος ὑπὸ τὴν γῆν κρύπτεται. οὐ μετεκλίθη γοῦν ὁ κόσμος ἐπ' οὐδὲν μέρος, ἀλλ' ἡ τῶν οἰκήσεων θέσις φαντάζει τὴν ἔγκλισιν.

161. Πόθεν ἄν τις γνοίη Ἑλληνικαῖς ἀποδείξεσι τὴν τοῦ κόσμου συντέλειαν. [125]

Περὶ τῆς τελευταίας ἡμέρας καὶ ὥρας οὐδεὶς οἶδε, κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν, εἰ μὴ ὁ πατὴρ καὶ ὁ συναΐδιος ἐκείνῳ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. Ἕλληνες δὲ βιάζονται καὶ ταύτην εἰδέναι διὰ καινῶν ἀποδείξεων. ὁ Κρόνος ποιεῖται τὴν μεγίστην ἀποκατάστασιν δι' ἐτῶν σξε'· Ζεὺς δὲ διὰ υκζ'· Ἄρης δὲ διὰ σπδ'· ἥλιος δὲ διὰ ͵αυξα'· Ἀφροδίτη δὲ διὰ ͵αρνα'· Ἑρμῆς διὰ υπ'· ἡ σελήνη δι' ἐτῶν κε'. ἡ δὲ κοσμικὴ ἀποκατάστασις γίνεται δι' ἐτῶν μυριάδων ροε' πρὸς ͵γ καὶ σ'· καὶ τότε γίνεται σύνοδος πάντων τῶν ἀστέρων κατὰ τὴν λ' μοῖραν τοῦ καρκίνου ἢ τὴν πρώτην μοῖραν τοῦ λέοντος· καὶ τηνικαῦτα γίνεται ὁ παντελὴς τοῦ κόσμου κατακλυσμός. κατὰ δὲ τὴν ἀποκατάστασιν τῶν ἐλαχίστων ἐτῶν τῶν ἀστέρων οἱ μερικοὶ κατακλυσμοὶ γίνονται. ἑκάστῳ γὰρ ἀστέρι πλανήτῃ μέγιστα καὶ μέσα καὶ ἐλάττονα ἔτη παράκειται.

---

160. 1: Plut., plac. II 8. — 2-6: ib. p. 337, 4-338, 1; 338, 7-8.
161. 3-4: Mt. 24[36]; Mc. 13[32]. — 6-13: Antioch. 51, p. 163, 17-23 Boll (Catal. cod. astrol. I). — 14-15: cf. ib. 49, p. 162, 28-163, 3.

---

159. 12 καὶ ἔγκειται καὶ AL
160. ALZ, SWH, PB, VR 1 κόσμον: ὅλον add VR — 2 τὸν κόσμον μεταπεσεῖν VR / μετὰ: καὶ VR — 5-6 μετεγκλιθῆναι SWPBVR — 6 ἀδιάφορον VR — 8 ἀμετάθετοι SWH / τὸ πᾶν συντηροῦσι om SWH / διατηροῦσι VR
161. AFDLZ, SWH, PBE*, VR 1 τὴν om AF — 4 φωνήν: οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν add L (post οἶδε add E) / πατὴρ: μόνος add DL — 6 καινῶν AFDLZ: κενῶν Ω / ποιεῖ PBEVR, Antioch — 7 ὁ ζεὺς V(R) / δὲ[1] om SWPBV[R] / υκζ': κζ' (V)R / δὲ[2] om LPB — 8 ὁ ἥλιος SWV[R] / δὲ (bis) AFD, Antioch: om Ω — 9 υπ': υπη' SWH(V)R / ἡ[1]: ἡ δὲ PB / ἀποκατάστασις E* — 10 καὶ[1] om LSWVR — 14 μερικοὶ: μικροὶ AFDL / γίνονται κατακλυσμοί SW

162. Τίνα δεξιὰ τοῦ κόσμου καὶ τίνα ἀριστερά. [126]

Τοῖς μὲν ἐξ ἀνατολῶν πρὸς δύσιν ὁρῶσι δεξιὰ τοῦ κόσμου μέρη τὰ βόρεια, ἀριστερὰ δὲ τὰ νότια· τοῖς δ' ἀπὸ τῆς δύσεως πρὸς ἀνατολὴν βλέπουσι δεξιὰ μὲν τὰ νότια, ἀριστερὰ δὲ τὰ βόρεια. καὶ ἐμπρόσθια μὲν τοῦ οὐρανοῦ τὰ ἑσπέρια μέρη, πρὸς ταῦτα γὰρ φέρεται κινούμενος· ὀπίσθια δὲ τὰ ἑῷα, ἀπ' ἐκείνων γὰρ ὥρμηται. τίνα δὲ κάτω τοῦ οὐρανοῦ καὶ τίνα ἄνω; οἱ μὲν ἄλλοι τῶν φιλοσόφων τὸ μὲν ὑπὲρ κεφαλὴν ἡμῶν ἡμισφαίριον ἄνω τιθέασι, τὸ δὲ ἀντίθετον κάτω· Ἀριστοτέλης δὲ νῦν μὲν ὅλον τὸν οὐρανὸν ἄνω τῆς γῆς ἀποφαίνεται, νῦν δὲ τὸ μὲν ἄνω κάτω λέγει, τὸ δὲ κάτω ἄνω, πλὴν μετὰ θαυμασίας καὶ λογικωτάτης ἀποδείξεως.

163. Περὶ μεταβολῆς τῶν τῆς γῆς μερῶν. [127]

Μεταβάλλει τὰ μέρη τῆς γῆς κατὰ τὸ ξηρότερον καὶ ὑγρότερον, ἀπὸ μὲν ὑγροῦ ξηρότερα γινόμενα καὶ ἀπὸ ξηροῦ ὑγραινόμενα· συμβαίνει δὲ καὶ τὴν θάλασσαν ἠπειροῦσθαι καὶ τὴν ἤπειρον θαλαττοῦσθαι. καὶ ἐν μὲν τῷ μεγάλῳ χειμῶνι ἡ ἤπειρος θαλαττοῦται, ἐν δὲ τῷ μεγάλῳ θέρει ἡ θάλασσα ἠπειροῦται. αἴτιοι δέ εἰσι καὶ οἱ ποταμοὶ τοῦ τὴν θάλασσαν ἠπειροῦσθαι. ἐμβάλλοντες γὰρ εἰς αὐτὴν τῷ ἐπιφέρειν ἰλὺν ἠϊόνας ποιοῦσι, καὶ οὕτως ἀπογαιοῦται ὁ τόπος ἐκεῖνος· μὴ εἰσβάλλοντες δὲ ποιοῦσι τὴν γῆν θαλαττοῦσθαι. ἀλλ' ἐνταῦθα ἠπειρουμένη ἡ θάλασσα ὠθεῖται εἰς τὴν ἀντιπέραν ἤπειρον καὶ θαλαττοῖ ταύτην· εἰ δὲ μή, παλινοστεῖ τὸ ὕδωρ αὖθις ἐπὶ τὸν οἰκεῖον τόπον καὶ θαλαττοῦται πάλιν τὸ ἠπειρωθέν.

164. Περὶ σεισμοῦ. [128]

Τὸν σεισμὸν ποιεῖ μὲν ὁ θεός, ὥσπερ δὴ καὶ τἆλλα σύμπαντα, κατὰ τὸ 'ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν'· προσεχὲς δὲ τούτου αἴτιον τὸ ἀναπεμπόμενον ἀπὸ τῆς γῆς πνεῦμα, ὅταν εἴσω τύχοι ῥυὲν τὸ ἔξω ἀναθυμιώμενον. διὰ ταῦτα καὶ νηνεμίας γίνονται οἱ πλεῖστοι καὶ μέγιστοι τῶν σεισμῶν· κατακλείεται γὰρ τηνικαῦτα ὑπὸ γῆν τὸ αἴτιον τῶν ἀνέμων. γίνονται δὲ οἱ ἰσχυρότεροι τῶν σεισμῶν,

---

162. 1: Plut., plac. II 10. — 9-10: Ar., de caelo II 2, 285 b 8-33.
163. 2-3: Olymp., in met. I 14, p. 111, 17-19 Stüve. — 3-5: p. 111, 28-29. — 5-12: p. 112, 9-10; 12-15; 18-22.
164. 1: Plut., plac. III 15. — 3: Ps. 103[32]. — 3-6: Ar., meteor. II 8, 366 a 2-6. — 6-7: 366 a 16. — 7-8: 366 a 23-25. — 8-11: 366 a 30-b 2. — 11-13: 367 a 23-25.

---

162. ALZ, SWH, PB, VR 3 τῆς om LPR / ἀνατολὰς APB τὴν ἀνατολὴν VR — 5 γὰρ om V(R) — 6 τὰ κάτω B — 7 τὰ ἄνω PB — 8 κεφαλῆς ZSW / ἡμῖν PB — 11 λογιωτάτης SWPVR
163. AFD, SWH, PB, VR 8 τὴν ἰλὺν SWVR / ἠόνας AFDV / ἀπογεοῦται SWPV / τόπος AFD, Olymp: ποταμὸς Ω — 9 ἐμβάλλοντες AFDB — 10 ἀντίπερα D ἀντιπέρας SW — 12 ἠπειρούμενον SWPBVR
164. AFDZ, SWH, PB, VR 1 σεισμῶν SWHPBVR — 5 ἔξω καὶ AFD ἔξωθεν P[B] / ἀναθυμιούμενον VR — 6 πλείους SWH / καταλείεται S καταλύεται H — 7 τὴν γῆν AF / ἀνέμων AFDZ: σεισμῶν Ω / οἱ om [P]BVR

ὅπου ἡ θάλαττα ῥοώδης καὶ ἡ χώρα σομφὴ καὶ ὕπαντρος. διὰ γὰρ τὴν στενότητα τὸ πνεῦμα γινόμενον σφοδρὸν μᾶλλον σείει τὴν γῆν, αἵ τε χῶραι ὅσαι σομφοὺς ἔχουσι τοὺς κάτω τόπους πολὺ δεχόμεναι πνεῦμα σείονται μᾶλλον. ὅ τε ἥλιος ἀχλυώδης καὶ ἀμαυρὸς τότε φαίνεται, ὑπονοστεῖν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ διαλύοντος τὸν ἀέρα καὶ διακρίνοντος.

165. Περὶ τοῦ μεγάλου χειμῶνος καὶ τοῦ μεγάλου θέρους. [129]

Μέγας ἐστὶ χειμών, ἡνίκα πάντες οἱ πλάνητες ἐν χειμερινῷ ζωδίῳ γένωνται, ἐν ὑδροχόῳ ἢ ἐν ἰχθύσι· μέγα δὲ θέρος, ὅταν πάντες ἐν θερινῷ ζωδίῳ γένωνται, ἐν λέοντι ἢ καρκίνῳ. καὶ γὰρ ὁ ἥλιος μόνος ἐν λέοντι μὲν γινόμενος ποιεῖ θέρος, ἐν αἰγοκέρωτι δὲ χειμῶνα. ἔνθεν καὶ ἐνιαυτὸς ὠνόμασται, διὰ τὸ εἰς ἓν καὶ τὸ αὐτὸ φέρειν τὸν ἥλιον, ἀπὸ γὰρ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθίσταται ὁ φωστήρ. πάντες μὲν οὖν κατὰ κορυφὴν ἡμῶν γινόμενοι οἱ πλάνητες ποιοῦσι μέγα θέρος, ἀφιστάμενοι δὲ ἐκ διαμέτρου ποιοῦσι μέγαν χειμῶνα. καὶ ἐν μὲν τῷ μεγάλῳ χειμῶνι θαλαττοῦται ἡ ἤπειρος, ἐν δὲ τῷ μεγάλῳ θέρει ἠπειροῦται ἡ θάλασσα.

166. Διατί ἁλμυρὸν τὸ τῆς θαλάττης ὕδωρ. [130]

Ἁλμυρόν ἐστι τὸ θαλάττιον ὕδωρ, διότι ἡ καπνώδης ἀναθυμίασις ἄπεπτος οὖσα οὐσία παρεμπίπτουσα τῇ θαλάττῃ ποιεῖ αὐτὴν ἁλμυρὰν καὶ βαρεῖαν. ἡ αὐτὴ δὲ ἀναθυμίασις ἀπόγειος γινομένη καὶ μιγνυμένη τοῖς θερινοῖς καὶ μετοπωρινοῖς ὑετοῖς ποιεῖ αὐτοὺς ἁλμυρούς. οἱ δὲ ποταμοὶ οὐ πάσχουσι τὴν ἁλμυρότητα διὰ τὴν ἄπαυστον αὐτῶν ῥύσιν. χρεία γὰρ στάσεως, ἵνα γένηται ἡ κρᾶσις τῆς καπνώδους ἀναθυμιάσεως τοῖς ὑποκειμένοις ὕδασιν. αἴτιον δὲ τῆς ἁλμυρότητος καὶ ὁ ἥλιος· τῇ γὰρ οἰκείᾳ θερμότητι ἐξατμίζων τὴν θάλασσαν καὶ τὸ γλυκύτερον ἕλκων καὶ κουφίζων πρὸς τὸν ἀέρα, κάτω τὸ ἁλμυρότερον ἐᾷ καὶ βαρύτερον. ὅτι δὲ παχύτερόν ἐστι τὸ θαλάττιον ὕδωρ τῶν ποταμίων ὑδάτων, δῆλον αἰσθήσει. ἐν μὲν γὰρ τοῖς ποταμοῖς οὐ δύνανται πλοῖα βαρὺν ἔχοντα φόρτον πλεῖν, ἐν δὲ τῇ θαλάσσῃ βαστάζονται ἐλαφρῶς διὰ τὴν ὑποκειμένην παχύτητα.

---

165. 2-11: Olymp., in met. I 14, p. 111, 30-112, 10 Stüve.
166. 1: cf. Plut., plac. III 16. — 2-3: Olymp., in met. II 3, p. 157, 6-7. — 3-5: p. 157, 16-18. — 5-8: p. 157, 23-26. — 11-14: p. 159, 10-13.

---

164. 9 στερρότητα VR / αἵ τε: αἴτιον δὲ, αἱ AF — 10 πνεῦμα om SW — 11 ὅ τε: ὅτε ὁ AFD / τότε om SWH — 12 ἐρχομένου AFD
165. AFDZN, SWH, PB, VR 1 καὶ-θέρους om SWHVR — 2 ἐστὶ χειμών: χειμὼν γίνεται D(N) — 3 ἐν¹-4 γένωνται om ZR — 4 ἢ: ἢ ἐν DSW — 5 αἰγοκέρῳ AFZPVR — 6 εἰς om SWHPB — 8 ἡμῖν N (qui ante κατὰ) PB / γενόμενοι VR — 9 μέγαν: μέγα ADP
166. AF* DZ, SWH, PB, VR 1 ὕδωρ ἐστίν WPBV — 2 ἐστι om AFD — 5 μετοπώροις AF — 6 ἀλυκότητα SWPBVR / ῥύσιν: χρῆσιν PV χύσιν R — 7 κρᾶσις: κρίσις P χρίσις B — 10 ἕλκων: αἴρων VR / ἕλκων F* — 12 δύναται ADR / τὰ πλοῖα PB

167. Τίς ἡ αἰτία τοῦ ἐν τῇ θαλάσσῃ γλυκὺ ὕδωρ εὑρίσκεσθαι. [131]

Αἴτιον τοῦ εἶναι γλυκὺ ὕδωρ ἐν τῇ θαλάσσῃ τὸ ποταμοὺς ῥεῖν περὶ αὐτήν. ὁ γοῦν ἐπὶ Γάζαν πλοῦς ὕδωρ ἔχει γλυκὺ διὰ τὸ τινὰ στόμια τοῦ Νείλου ἐκεῖσε ἐμβάλλειν. τῇ γὰρ ῥύμῃ καὶ τῇ ὁρμῇ ἐμβάλλων ὁ ποταμὸς εἰς τὴν θάλασσαν οἷον ῥύακα τινὰ ποιεῖ καὶ παρέχει ὕδωρ γλυκύ. καὶ τοῦτο δέ σοι ἰστέον, ὅτι ὁ μὲν ποταμὸς ἀπὸ μεγάλης πηγῆς ῥεῖ, καὶ τὰ φρέατα δὲ ἀπὸ πηγῶν ἔχουσι τὴν ἀρχήν· καὶ ὅπου μὲν ἀπὸ τοῦ βάθους τῆς γῆς ἐκδίδοται τὰ ὕδατα, ὅπου δὲ ἀπὸ πηγῶν καὶ κρηνῶν ἐπιπολῆς. καὶ ποταμοὶ μὲν καὶ κρῆναι ῥευστὰ ἔχουσιν ὕδατα, τὰ δὲ φρέατα στάσιμα, οὐ γὰρ ἐκρέουσιν. ἔξω δὲ θάλασσαν ὁ Ἀριστοτέλης τὴν Ἐρυθρὰν λέγει, διὰ τὸ μὴ ἔχειν πέρας. τόπος δέ ἐστι περὶ τὸν ποταμὸν τὸν βαθύτατον, βάθος καλούμενος, ἔνθα ἀναδίδοται ὕδωρ γλυκύτατον μετὰ πολλοῦ πνεύματος.

168. Διατί τὸ θαλάττιον ὕδωρ οὐ τρέφει τὰ δένδρα. [132]

Οὐ τρέφει τὰ δένδρα τὸ θαλάττιον ὕδωρ, διότι οὐκ ἐνδύεται ταῖς ῥίζαις αὐτῶν οὐδ' ἀναφέρεται ταχέως εἰς τὸ στέλεχος καὶ τοὺς ἀκρέμονας διὰ τὸ παχὺ εἶναι, καὶ ὅτι ἐμβριθές ἐστι καὶ γεῶδες· τοῦτο δὲ ἀποδείκνυται ἀπὸ τοῦ μᾶλλον ἀνέχειν καὶ ὑπερείδειν τὰ πλοῖα καὶ τοὺς κολυμβῶντας. εἰπὲ καὶ ἄλλην αἰτίαν, ὅτι ξηραντικόν ἐστι τοῦτο τὸ ὕδωρ· δεῖ δὲ τοῖς δένδροις οὐ ξηρότητος, ἀλλ' ὑγρότητος. ὅτι δὲ ξηραίνει τὸ θαλάττιον ὕδωρ, φανερὸν καθέστηκεν ἀπὸ τοῦ βοηθεῖν πρὸς τὰς σήψεις, ἐξικμάζον ταύτας καὶ ἀναξηραῖνον· καὶ τὰ σώματα δὲ τῶν λουσαμένων ἐν θαλάσσῃ ξηρὰν ἴσχει καὶ τραχεῖαν τὴν ἐπιφάνειαν. εἰπὲ καὶ ἄλλην αἰτίαν, ὅτι πολλῆς ἡ θάλασσα μετέχει τῆς λιπαρότητος, τὸ δὲ λιπαρὸν ἐμπίπτον τοῖς πόροις τῶν δένδρων οὐκ ἐᾷ ταῦτα καρπογονεῖν.

169. Διατί τῆς θαλάττης ἐλαίῳ καταρραινομένης γίνεται καταφάνεια καὶ γαλήνη. [133]

Ὅτι τὴν θάλατταν γεώδη καὶ ἀνώμαλον οὖσαν ἐξωθεῖ καὶ διαστέλλει τὸ ἔλαιον τῇ πυκνότητι, εἶτα ἀνατρεχούσης εἰς ἑαυτὴν καὶ συστελλομένης γίνονται πόροι τινὲς καὶ κενὰ διαλείμματα μεταξὺ

---

167. 2-6: Olymp. I 13, p. 106, 11-16. — 6-10: p. 106, 24-28. — 10-11: p. 107, 25. — 11-13: p. 108, 13-17.
168. 2-12: Plut., aet. phys. I, p. 373, 9-20 Bernardakis.
169. 3-6: ib. XII, p. 383, 10-14. — 6-7: p. 383, 4-5. — 7-9: cf. p. 383, 14-19.

---

167. ADZ, SWH, PB, VR 2 ἐν τῇ θαλάσσῃ γλυκὺ ὕδωρ AD / τὸ om DP / ποταμὸν AD — 5 ῥύακα ADZ, Olymp: βρύσιν SWHB βόνασιν P βρύα VR — 6 ἀπό: πάσης add SWHVR — 8 τὰ om BR — 8-9 κρηνῶν (κρημνῶν AD) καὶ πηγῶν ADSW — 10 ἔξωθεν SW / θαλάττης SW(VR)
168. AFN, SWH, PB, VR 1 αἰτίαι φυσικαὶ praef AF / οὐ τρέφει τὸ θαλάττιον ὕδωρ AF[N] — 2 τὸ θαλάττιον ὕδωρ οὐ τρέφει τὰ δένδρα N — 4 ἐμβριθές: ἐκμηριθὲς SWH / ἐστὶ om SWH — 6 εἴποις SWH — 7 ἀλλ': ἀλλὰ μᾶλλον N — 10 ἐν AFN, Plut: ἐν τῇ Ω / ἴσχει AFN, Plut: ἔχει Ω — 11 εἴποις SWH / ὅτι om SW
169. AFN, SWH, PB, VR 1-2 γαλήνη γίνεται καὶ καταφάνεια AF

διαύγειαν ταῖς ὄψεσι διδόντες καὶ καταφάνειαν. ἢ τὸ πνεῦμα τῆς λειότητος ἀπολισθαῖνον οὐ ποιεῖ πληγὴν οὐδὲ σάλον. ἢ ὅτι τὸ ἔλαιον ὁμαλώτατον καὶ λιπαρώτατον ὄν, ἐπιχεόμενον τῇ θαλάσσῃ διασκίδνησι τὸν ἐν αὐτῇ ζοφερὸν ἀέρα καὶ λαμπρότατον ἀπεργάζεται, γαλήνην δὲ ἐμποιεῖ ἐπιπλέον ἄνωθεν καὶ οὐκ ἐῶν κάτωθεν αὐτὴν ἀναβράττεσθαι. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ περὶ τούτου αἰτίαι, ἀλλ᾽ αἵ γε εἰρημέναι τῶν ἄλλων εἰσὶν ἀκριβέστεραι.

170. Τίς ἡ αἰτία δι᾽ ἥν, ὅταν εἰς τὴν θάλασσαν ἐμπέσῃ κεραυνός, ἅλες ἐξανθοῦσι. [134]

Πηγνύμενον τὸ θαλάσσιον ὕδωρ τοὺς ἅλας ποιεῖ, πήγνυται δὲ τοῦ κεραυνοῦ ἐμπεσόντος ἐν τῇ θαλάσσῃ καὶ τὸ γλυκὺ καὶ πότιμον ὕδωρ ἐξάγοντος. ὅθεν τὸ μὲν λεπτὸν καὶ πότιμον ὕδωρ οὔθ᾽ ὑπὸ ἡλίου καιόμενον πήγνυται οὔθ᾽ ὑπὸ κεραυνοῦ, τὸ δ᾽ ἁλμυρὸν ὑπ᾽ ἀμφοτέρων τοῦτο πάσχει, καὶ μάλιστα ὑπὸ κεραυνοῦ. θειῶδες γὰρ ὂν τὸ κεραύνιον πῦρ, ὅταν εἰς τὴν θάλασσαν ἐμπέσῃ ἐξατμίζει μὲν καὶ ἀναξηραίνει τὸ πότιμον, πήγνυσι δὲ τὸ γεῶδες καὶ ἁλμυρόν. ὅθεν ἄσηπτα μὲν οἱ κεραυνοὶ τὰ σώματα ποιοῦσιν, ἄσηπτα δὲ οἱ ἅλες διαφυλάττουσιν, ἐκτηκομένης ὑπ᾽ αὐτῶν τῆς ὑγρότητος. ταύτην τὴν αἰτίαν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος ἀποδέχεται καὶ οἱ κρείττους τῶν φυσικῶν.

171. Περὶ τῆς ἐν Εὐβοίᾳ παλιρροίας. [135]

Τὸ πέλαγος τὸ Ἰόνιον ἐκ πολλῆς εὐρυχωρίας ἐν τῇ Εὐβοίᾳ στενούμενον καὶ καθάπερ διὰ στομίου τινὸς εἰς τὸν Κρισσαῖον κόλπον ἐκχεόμενον ἐμμίξαι τὲ πρὸς τὴν Αἰγαίαν θάλασσαν ἐπειγόμενον ὑπὸ τοῦ Πελοπονησίου ἰσθμοῦ τῆς πρόσω φορᾶς ἀνακόπτεται, προμηθείᾳ τῶν κρειττόνων, ὡς ἔοικεν, ἐπικλῦσαι τὴν ἀντίθετον προβολῇ τοῦ αὐχένος ἀποτειχιζόμενον. κἀκ τούτου δὲ παλιρροίας ὡς τὸ εἰκὸς γινομένης καὶ περὶ τόνδε τὸν πορθμὸν πλέον ἢ κατὰ τὸν ἄλλον κόλπον θλιβομένης, τοῦ ἐπιρρέοντος ἐπὶ τῷ ἀνατρέχοντι πολλάκις ἐμπίπτοντος, βρασμὸν τὲ ἴσχει τὸ ὕδωρ καὶ κῦμα φλεγμαῖνον ἐγείρει πρὸς τῆς ἀντιτυπίας εἰς κλύδωνα κορυφούμενον.

---

170. 1-13 = Ar., frg. 218 R. — 9-10: cf. Plut., qu. conv. V 10, p. 213, 5-8.
171. 2-11: Heliod., Aeth. V 17^{2-3}.

---

169. 6 διδόντα SW — 9 λαμπροτάτην A[F] λαμπρότητα PB λαμπρότερον VR — 10 ἐπὶ πλέον HPB — 11 πολλαὶ om SWHB / τούτων N

170. AFN, SWH, PB, VR 3 θαλάττιον AFS — 4 γλυκὺ: μὲν add AF — 5 ἐξάγοντος-ὕδωρ om AFN — 7 καὶ om AF — 10 ποιοῦσι τὰ σώματα VR / διαφυλάττουσιν om VR — 11 καὶ: ὁ N καὶ ὁ SW — 12 ὁ φιλόσοφος om SW[H]R / ἀποδέχεται: τίθησί τε καὶ ἀποδέχεται VR

171. ADN, SWH, PB, VR 2 ἰώνιον DN — 2-3 στενοχωρούμενον SW — 3 καὶ om SW — 3-4 εἰσχεόμενον AD — 4 ἐμμίξαι τὲ: ἐμμίξεται NS^1 — 5 πελοποννησίου WPB τῆς πελοποννήσου VR — 5-6 τῶν κρειττόνων N: κρείττονι Ω (κρειττόνων Heliod) — 7 κἀκ: καὶ P κἂν B — 8 θλιβόμενον D ἐκθλιβομένου PB θλιβομένου VR — 10 τὲ ἴσχει ADN, Heliod: τε ἔχει PB ποιεῖ Ω

172. Διατί ὑπὸ τῶν ὑετίων ὑδάτων μᾶλλον ἢ τῶν ἐπιρρύτων τὰ δένδρα καὶ τὰ σπέρματα πέφυκε τρέφεσθαι. [136]

Διότι τῇ πληγῇ διϊστῶσι τὴν γῆν καὶ πόρους ποιοῦσι καὶ διαδύονται εἰς τὴν ῥίζαν. ἢ ὅπερ ἀληθέστερον, πρόσφατον ἐστὶ καὶ νέον ὕδωρ τὸ ὑόμενον, ἕωλον δὲ καὶ παλαιὸν τὸ λιμναῖον. ἢ ὅτι τὸ ἀερῶδες ὕδωρ πνεύματι μεμιγμένον ὂν ὁδηγεῖται καὶ ἀναπέμπεται ταχέως εἰς τὸ φυτὸν ὑπὸ λεπτότητος· διὸ καὶ πομφόλυγας ποιεῖ, διὰ τὴν τοῦ ἀέρος ἀνάμιξιν. ἢ ὅτι τὸ ὄμβριον ὕδωρ γενόμενον ἐν ἀέρι καὶ πνεύματι καθαρὸν καὶ ἀμιγὲς κάτεισι, τὰ δὲ πηγαῖα καὶ τῇ γονῇ καὶ τοῖς τόποις ὁμοιούμενα δι' ὧν ἔξεισι πολλῶν ἀναπίμπλανται ποιοτήτων. πρόσθες καὶ ἄλλην αἰτίαν· εὔσηπτόν ἐστι τὸ ὑέτιον ὕδωρ καὶ διατοῦτο καὶ εὔπεπτον, πᾶν δὲ ὕδωρ τὸ οὕτως ἔχον τρέφει τὸ ὑποκείμενον.

173. Διατί τῶν ὀμβρίων ὑδάτων εὐαρδέστερα τοῖς σπέρμασι τὰ μετὰ βροντῶν καὶ ἀστραπῶν. [137]

Ὅτι πνευματώδη διὰ τὴν τοῦ ἀέρος ταραχὴν καὶ ἀνάμιξιν, τὸ δὲ πνεῦμα τὴν ὑγρότητα κινοῦν μᾶλλον ἀναπέμπει καὶ ἀναδίδωσιν. ἢ ὅτι βροντὰς μὲν καὶ ἀστραπὰς ποιεῖ τὸ θερμὸν ἐν τῷ ἀέρι πρὸς τὸ ψυχρὸν μαχόμενον· διὸ καὶ χειμῶνος ἥκιστα βρονταί, ἔαρος δὲ μάλιστα καὶ φθινοπώρου· ἡ δὲ θερμότης πίπτουσα τὸ ὑγρὸν προσφιλὲς ποιεῖ τοῖς βλαστάνουσι καὶ ὠφέλιμον. τὰ μέντοιγε ἐαρινὰ τῶν ὑδάτων ἀναγκαιότερα τοῖς σπέρμασι πρὸ τοῦ θέρους· ὅθεν ἡ πλεῖστον ὑομένη τοῦ ἔαρος χώρα, καθάπερ ἡ ἐν Σικελίᾳ, πολλοὺς καὶ ἀγαθοὺς καρποὺς ἀναδίδωσι.

174. Περί τινων λιμνῶν. [138]

Ἡ μυθευομένη παρὰ τοῖς πολλοῖς Νεκρὰ θάλασσα ἡ ἐν Παλαιστίνῃ παχυτάτη οὖσα ἁλμυροτάτη ἐστὶ πάντων τῶν ὑδάτων, καὶ πᾶν τὸ ἐμβαλλόμενον ἐν αὐτῇ σῶμα ἀνωθεῖται ὑπὸ τοῦ ὕδατος καὶ οὐ γίνεται ὑποβρύχιον. πᾶν δὲ ὕδωρ ἁλμυρὸν θερμόν ἐστιν ἢ δυνάμει ἢ ἐνεργείᾳ· δυνάμει μὲν ὡς τὰ ἐν Τύρῳ, ἐνεργείᾳ δὲ ὡς τὰ ἐν Γαδάροις. καὶ ἐν Ὀμβρικοῖς χώρα ἐστὶν ἑλώδης, ἐν ᾗ κάλαμοι καὶ σχοῖνοι γίνον-

---

172. 1-4 : Plut., aet. phys. II, p. 374, 10-14 Bernardakis. — 4-5 : p. 374, 18-19. — 5-8 : p. 374, 25-375, 3. — 8-10 : p. 375, 8-11. — 10-12 : p. 375, 13-15.

173. 1-11: ib. IV, p. 377, 6-20.

174. 2-5 : Olymp., in met. II 3, p. 163, 18-21 Stüve. — 5-6 : p. 165, 2-4. — 7-10 : p. 164, 33-36. — 10-14 : p. 163, 13-16.

---

172. AFN, SWH, PB, VR 1 ἀπὸ AF — 2 αὔξεσθαι AF — 3 διεστῶσι NS — 4 τὰς ῥίζας NB — 7 ὑπὸ τῆς SW — 9 πηγιμαῖα AF / καὶ[3] om AFNW — 12 εὔθρεπτον SWP[2]VR (εὔτρεπτον Plut)

173. AFN, SWH, PB, VR 2 τὸ NB — 3 δὲ om AF — 6 ἥκιστα AFN, Plut : οὐδαμῶς Ω — 7 προσφιλὲς τὸ ὑγρὸν P(B) — 8 βλαστήμασι AF — 9 ὅθεν ἡ: καὶ AF — 10 ἔαρος: ἀέρος SBV / ἡ AFNP, Plut : om Ω — 10-11 ἀναδίδωσι καρπούς PB

174. ADZ, SWH, PB, VR 3 παχύτατος VR / τῶν om ZPBV — 4 οὐ om PBR — 5 θερμόν: μὲν add [D]SWPBVR — 6 γαδείροις SW(P)B — 7 ὑλώδης SW

ται πλεῖστοι· τούτους καίοντες οἱ τῆς χώρας καὶ ἀποτεφροῦντες καὶ τὴν τέφραν εἰς ὕδωρ ἀφέψοντες καὶ ψύχοντες τὸ ἐπιπαγὲν ἅλας εὑρίσκουσι· καὶ ἡ Σερβωνίτης δὲ λίμνη ἁλμυρά ἐστι. καὶ ὅσον ἂν ἐπιτείνηται ἡ τοῦ ὕδατος παχύτης, τοσοῦτον καὶ ἡ ἁλμυρότης, ὡς εἶναι τὸ παχύτατον ἁλμυρότατον. καὶ ἡ θάλασσα οὖν ἁλμυρά ἐστι, διότι παχεῖα, διὰ τὸ συμμεμίχθαι αὐτῇ τὴν καπνώδη ἀναθυμίασιν παχυτάτην οὖσαν.

175. Περὶ ποταμῶν. [139]

Ἀπὸ τοῦ Παρνασοῦ καλουμένου ὄρους τοῦ ὄντος ἐν τῇ Ἀσίᾳ ῥέουσι ποταμοὶ ὁ Βάκτρος καὶ ὁ Χοάσπης καὶ ὁ Ἀράξης. ἐκ δὲ τοῦ Καυκάσου ὄρους ὁ Φάσις ἄλλοι τὲ ῥέουσι πολλοὶ κατὰ πλῆθος καὶ μέγεθος ὑπερβάλλοντες· ὁ δὲ Καύκασος μέγιστον ὄρος τῶν πρὸς τὴν ἕω τὴν θερινὴν καὶ πλήθει καὶ ὕψει. ἐκ δὲ τῆς Πυρίνης — τοῦτο δέ ἐστιν ὄρος πρὸς δυσμὴν τὴν ἰσημερινὴν ἐν τῇ Κελτικῇ — ῥέουσιν ὅ τε Ἴστρος καὶ ὁ Ταρτησός· ὁ μὲν Ταρτησὸς ἔξω στηλῶν, ὁ δὲ Ἴστρος δι' ὅλης τῆς Εὐρώπης εἰς τὸν Εὔξεινον πόντον. ὑπ' αὐτὴν δὲ τὴν ἄρκτον ὑπὲρ τῆς ἐσχάτης Σκυθίας αἱ καλούμεναι Ῥίπαι εἰσίν· αἱ δὲ Ῥίπαι ὄρη ὑπερμεγέθη καὶ ὑψηλότατα. περὶ δὲ τὴν Λιβύην ἐκ τῶν Αἰθιοπικῶν ὀρῶν ὁ Αἰγὼν καὶ ὁ Νύσης καὶ ὁ Χρεμέτης· τοῦ δὲ Νείλου τὸ ῥεῦμα ἐκ τοῦ Ἀργυροῦ κάτεισιν ὄρους. καὶ ὁ μὲν Ἀχελῷος ἐκ Πίνδου, ὁ δὲ Στρυμὼν καὶ ὁ Εὖρος ἐκ τοῦ Σκόμβρου· ὄρη δὲ ταῦτα περὶ τὸν Ἑλληνικὸν τόπον.

176. Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως. [140]

Ὁ Νεῖλος τὰς μὲν ἀρχὰς τῆς ῥύσεως ἐκ τῶν ἄκρων μὲν τῆς Αἰθιοπίας, ἐσχάτων δὲ τῆς Λιβύης λαμβάνει, καθ' ὃ μέρος τὸ κλίμα τὸ ἀνατολικὸν ἀπολῆγον ἀρχὴν τῇ μεσημβρίᾳ δίδωσιν. αὔξεται δὲ κατὰ τὴν θερινὴν ὥραν, οὐχ' ὥς τινες ᾠήθησαν πρὸς τῶν ἐτησίων ἀνέμων ἀντικρὺ πνεόντων ἀνακοπτόμενος, ἀλλ' αὐτῶν δὴ τούτων τῶν ἀνέμων κατὰ τροπὴν τὴν θερινὴν ἀπὸ τῶν ἀρκτῴων ἐπὶ τὴν μεσημβρίαν πᾶν νέφος ἐλαυνόντων καὶ ὠθούντων, ἕως ἐπὶ τὴν διακεκαυμένην ζώνην συνάξωσι, καθ' ἣν τῆς πρόσω φορᾶς ἀνακόπτονται· κἀκ τούτου λάβρων

---

175. 2-6: Ar., meteor. I 13, 350 a 18-20; 23-24; 26-30. — 6-9: 350 a 36-b 4. — 9-14: 350 b 6-17.
176. 1: Plut., plac. IV 1. — 2-13: Heliod., Aeth. II 28²⁻⁵.

---

174. 9 καὶ ψύχοντες DZPB, Olymp: om Ω — 10 σερβωνίτις ZWVR / ὅσω AD — 11 τοσούτω A — 12 γοῦν PB

175. ADZ, SWH, PB, VR 3 οἱ ποταμοὶ PB / καὶ¹ om SWH / ἀράζης VR — 4 πολλοὶ ῥέουσι SWPB πολλοὶ ῥέουσι πολὺ VR / κατὰ τὸ SW — 7 δυσμικὴν PB / ἐν: ὁ γαιὼν καὶ ὁ φυσσὼν. ἐν δὲ D — 8 ταρσισὸς (bis) AD / ὁ μὲν ταρτησὸς om SWHPBVR — 10 ῥίπται (bis) AD — 11 ὑψηλότατα: ἐξ ὧν μέγιστοι ῥέουσι ποταμοὶ τοὺς ἄλλους ἐν τῇ ῥοῇ ὑπερέχοντες add D — 12 αἴγων DSW / καὶ¹ om SWH / νύσσης APB νῆσις VR

176. AD, SWH, PB, VR 2 τὴν μὲν ἀρχὴν PB — 3 ἔσχατον PB — 6 ἀνακοπτόμενος-ἀνέμων om AD — 8 κεκαυμένην SWPBVR — 9 συναύξωσι PBVR συναύξουσι SW / κἀκ τούτου PB, Heliod: κἀκ τούτων AD καὶ τούτω SW καὶ τότε VR — 10 τὲ: τὶ VR — 12 θήγειν DSH

ὑετῶν ῥηγνυμένων ὀργᾷ τὲ ὁ Νεῖλος καὶ ποταμὸς εἶναι οὐκ ἀνέχεται. διὸ πιεῖν τέ ἐστι γλυκύτατος, ἅτε ἐξ ὄμβρων οὐρανίων χορηγούμενος, καὶ θίγειν προσηνέστατος, οὐκέτι μὲν θερμὸς ὡς ὅθεν ἤρξατο, ἔτι δὲ χλιαρὸς ὡς ἐκεῖθεν ἀρξάμενος.

177. Διατί μόνος ποταμῶν ὁ Νεῖλος αὔρας οὐκ ἀναδίδωσι. [141]

Μόνος ποταμῶν ὁ Νεῖλος αὔρας οὐκ ἀναδίδωσι, διότι τῶν νεφῶν ἀπὸ τῆς Αἰθιοπίας παρὰ τῶν ἐτησίων ἀνέμων ἄχρι μεσημβρίας ἐλαυνομένων ἡ ἐμπεριεχομένη ἐν τούτοις ἀτμὶς ὑπὸ τοῦ κατὰ τὸν τόπον πυρώδους ἅπασα ἐξικμάζεται, κἀντεῦθεν ὑετοῦ πολλοῦ καταφερομένου ὁ Νεῖλος τῆς οἰκείας ὄχθης ἐξανιστάμενος γεωργεῖ τὰς ἀρούρας· καὶ εἰκότως αὔρα οὐκ ἀναδίδοται, τῆς ἀτμίδος πάσης ἐκτακείσης διὰ θερμότητα. εἰ δὲ ἦν ὁ Νεῖλος αὐξόμενος ἀπὸ χιόνος τηκομένης, ὥς τινες τῶν φυσικῶν φιλοσόφων ᾠήθησαν, αὔραι ἂν ἐκεῖθεν δαψιλεῖς ἀνεπέμφθησαν. ὅθεν οὐδ' ἄλλη τὶς ἐστὶν αἰτία ἀληθεστέρα τῆς τοῦ ποταμοῦ ἀναβάσεως καὶ τοῦ μὴ αὔρας ἐξ αὐτοῦ ἀναδίδοσθαι.

178. Περὶ τῶν μεγίστων βασιλειῶν. [142]

Πρώτη τῶν διωνομασμένων βασιλειῶν ἡ τῶν Ἀσσυρίων· μεθ' ἣν ἡ Μηδική, ἐκείνην τὲ καθελοῦσα καὶ μείζονα δυναστείαν περιβαλομένη. Πέρσαι δὲ Μήδους καταγωνισάμενοι τῆς μὲν Ἀσίας ὀλίγου δεῖν πάσης τελευτῶντες ἐκράτησαν· ἐπιχειρήσαντες δὲ καὶ τοῖς Εὐρωπαίοις ἔθνεσιν οὐ πολλὰ ὑπηγάγοντο. χρόνους δὲ οὐ πολλῷ πλείους διακοσίων ἔμειναν ἐπὶ τῆς ἀρχῆς. ἡ δὲ Μακεδονικὴ δυναστεία τὴν Περσῶν ἰσχὺν καθελοῦσα ἄχρι δευτέρας ἢ τρίτης ἴσχυσε προελθεῖν γενεᾶς. ἡ δὲ Ῥωμαίων πόλις ἁπάσης μὲν ἄρχει γῆς, ὅση μὴ ἀνέμβατος ἐστὶν ἀλλ' ὑπὸ ἀνθρώπων οἰκεῖται, πάσης δὲ κρατεῖ θαλάσσης καὶ αὐτῆς τῆς ὠκεανίτιδος καὶ ὅση πλεῖσθαι μὴ ἀδύνατος.

179. Περὶ χυμῶν. [143]

Ὀκτὼ τῷ γένει ὄντων τῶν χυμῶν ἕνα μόνον τὸν ἁλμυρὸν ἀπ' οὐδενὸς καρποῦ ὁρῶμεν γινόμενον· τὸν μὲν γὰρ πικρὸν χυμὸν ἡ ἐλαία φέρει, καὶ τὸν στρυφνὸν αἱ φοινικοβάλανοι, καὶ τὸν αὐστηρὸν αἱ ῥοιαί, καὶ

---

177. 2-11: Heliod. II 28³⁻⁵.
178. 2-11: Dion. Hal., antiqu. Rom. I 2-3.
179. 2-6: Plut., aet. phys. V, p. 377, 22-378, 2 Bernardakis. — 7-8: p. 378, 11-12.

---

177. ADN, SWH, PB, VR 2 Μόνος-ἀναδίδωσι om ADN / νεφελῶν N — 4 ἐν ADN: om Ω / τὸν om DP / τόπον: νότον AD — 5 πολλοῦ: ἐπιγενομένου καὶ add N — 7 αὔρα: αὔρα ἐκεῖθεν A ἐκεῖθεν αὔρα D — 8 εἰ δὲ: οὐ γὰρ SWH οὐδὲ VR / αὐξανόμενος SW / ὑπὸ SW — 9 αὔραι-10 ἀνεπέμφθησαν om SWHVR

178. A, SWH, PB, VR 3 περιβαλλομένη SWPBVR — 4 δὲ om A — 5 δὲ: πᾶσι add SW — 7 ἰσχὺν A, Dion: ἀρχὴν Ω — 9 ὑπὸ: τῶν add A — 11 μὴ om VR

179. AFN, SWH, PB, VR 2 ὀκτὼ: οὐ VR / τῶν om AF / ἀπ' AFN, Plut: ἐπ' Ω — 4 φοινικοκάλαμοι SWH

τὸν γλυκὺν τὸ μέλι, καὶ τὸν ὀξὺν τῶν μήλων ἔνια, καὶ τὸν δριμὺν πολλὰ τῶν σπερμάτων καὶ τῶν ῥιζῶν. ὁ δὲ ἁλμυρὸς χυμὸς ἀπ' οὐδενὸς γίνεται, διότι ἡ θάλασσα διηθουμένη διὰ φυτοῦ τὸ ἁλμυρὸν ἀποβάλλει· γεῶδες γὰρ καὶ παχυμερές ἐστι· καὶ ἐν ἑκάστῳ τῶν φυτῶν τὸ ἁλμυρὸν ὕδωρ καὶ θαλάττιον ἀλλοιούμενον τὴν μὲν ἁλμυρότητα ἀποτίθεται, ἑτέραν δὲ μεταλαμβάνει ποιότητα. ἅτε γὰρ παχύτατον ὂν τὸ ἁλμυρὸν οὐ δύναται ἀπὸ τῶν ῥιζῶν εἰς τοὺς κλάδους μετεωρίζεσθαι, εἰ μὴ σὺν τῇ ἁλμυρότητι ἀποβάλλει καὶ τὴν βαρύτητα.

180. Διατί παραβάλλουσι τοῖς θρέμμασιν ἅλας οἱ νομεῖς. [144]

Ἢ διότι τὴν ὄρεξιν ἡ δριμύτης ἐκκαλεῖται, καὶ τοὺς πόρους ἀναστομοῦσα ὁδοποιεῖ τῇ τροφῇ πρὸς ἀνάδοσιν. ἢ μᾶλλον ὑγείας ἕνεκα τὸ ἅλας διδόασι τοῖς βοσκήμασι. νοσεῖ γὰρ τὰ θρέμματα πιαινόμενα, τὴν δὲ πιμελὴν τήκουσιν οἱ ἅλες καὶ διαχέουσιν· ἡ γὰρ κολλῶσα καὶ συνδέουσα τὸ δέρμα πιμελὴ λεπτὴ καὶ ἀσθενὴς ὑπὸ δριμύτητος γίνεται· καὶ τὸ αἷμα δὲ τῶν τὸ ἅλας διαλειχόντων λεπτύνεται. καὶ τὰ βοσκήματα δὲ γονιμώτερα καὶ πρόθυμα πρὸς τὰς συνουσίας ἐντεῦθεν καθίστανται, καὶ αἱ κύνες δὲ ταχέως κύουσι τάριχον ἐπεσθίουσαι. τὸ δὲ ἅλας θεῖον ὁ ποιητὴς εἴρηκεν ἐν οἷς λέγει 'πάσσε δ' ἁλὸς θείοιο', διότι θείαν κέκτηται δύναμιν, τὰ νεκρὰ τῶν σωμάτων καὶ εὔσηπτα ἄσηπτα ἐργαζόμενον.

181. Διατί τὴν χροιὰν ὁ πολύπους ἐξαλλάττει αἷς ἂν πέτραις προσομιλήσῃ. [145]

Δειλόν ἐστι τοῦτο τὸ ζῶον, καὶ ὅταν ἢ ψόφου τινὸς αἴσθηται ἢ θηραθῆναι ὑποπτεύσῃ τρέπεται ὑπὸ δειλίας καὶ μεταβάλλεται. ὁμοιοῦται δὲ ταῖς χροιαῖς τῶν πετρῶν αἷς ἐγκάθηται, διότι ἀπὸ πάντων σωμάτων, καὶ χαλκοῦ καὶ σιδήρου καὶ λίθου, ἀπόρροιαί τινες φέρονται· συμμέτρως οὖν οἱ πόροι τοῦ σώματος τῶν πολυπόδων πρὸς τὰ παρὰ τῶν σωμάτων πεμπόμενα ῥεύματα ἔχοντες τήν τε χρόαν αὐτῶν ἴσχουσι καὶ μεταβάλλουσι πρὸς αὐτήν. ὅταν οὖν δείσῃ περιτρεπόμενος ὁ πολύπους, οἷον ἔσφιγξε τὸ σῶμα καὶ συνέδησεν, ὥστε προσδέχεσθαι καὶ στέγειν ἐπιπολῆς τὰς τῶν ἐγγὺς ἀπορροίας. οὔτε δὲ ὁ πολύπους

---

180. 1: Plut., aet. phys. III, p. 376, 4. — 2-3: p. 376, 6-8. — 3-7: p. 376, 13-20. — 7-9: p. 377, 1-3. — 9-12: Plut., qu. conv. V 10¹,³, p. 211, 13-14; 212, 19-23 (Hom. I 214).

181. 1: Plut., aet. phys. XIX, p. 386, 22. — 3-4: p. 386, 23-25. — 4-5: p. 387, 4-5. — 5-6: p. 387, 19-22. — 7-9: p. 389, 2-3. — 9-11: p. 388, 13-16. — 11-14: p. 388, 21-389, 3.

---

179. 7 διηθημένη SWV — 9 ἀλλοιούμενον καὶ θαλάττιον SW

180. AF, SWH, PB, VR 1 ἅλας οἱ νομεῖς τοῖς θρέμμασιν V(R) — 2 Ἢ om AFVR — 4 τὸ: τοὺς SW / τὸ ἅλας: τὸν δὲ ἅλα PVR τὸν ἅλα B / δίδωσι AF — 5-6 συνδέουσα καὶ κολλῶσα SW — 6 γίνεται ὑπὸ δριμύτητος SW — 8 γονιμώτατα FSW / προθυμότερα PBR, Plut — 9 καθίσταται SWR / αἱ: οἱ AF — 10 ὁ ποιητὴς θεῖον PB / ἐν om PB / πάσσει AF / θείου VR

181. AF, SWH, PB, VR 1 ἐξαλλάσσει AF / αἷς: ἐν αἷς PB — 3 τουτὶ AF / ψόφον τινὰ VR — 8 χροιὰν AF / ἴσχουσι: ἔχουσι BR — 11 τάς: καὶ τὰς SW — 12 ἀπαλλοιοῦται PB — 14 ἐπιτηδείως A(F)VR

οὔτε ὁ χαμαιλέων πρὸς τὸ λευκὸν ἀλλοιοῦται χρῶμα, διότι ἀσυμμέτρους ἔχουσι τοὺς πόρους πρὸς τὴν τοιαύτην χροιάν, πρὸς δὲ τὰς ἄλλας ἐπιτηδείους.

182. Διατί τῆς ἄρκτου ἡ παλάμη τῆς χειρὸς φαγεῖν γλυκυτάτη. [146]

Διότι πᾶν τὸ εὔπεπτον ἥδιστον· εὔπεπτον δὲ τὸ θερμαινόμενον γίνεται· θερμαίνεται δὲ τὸ μάλιστα γυμναζόμενον· γυμνάζεται δὲ τῆς ἄρκτου τοῦτο μάλιστα τὸ μέρος, καὶ γὰρ ὡς ποδὶ αὐτῷ χρῆται βαδίζουσα καὶ ὡς χερσὶν ἀντιλαμβανομένη τοῦ προστυχόντος. ὅθεν καὶ τῶν πτηνῶν ζώων ἥδιστα καὶ εὔτροφα ἐστὶ τὰ κινητικώτατα μᾶλλον, ὁποῖα ἐστὶν αὐτοῖς τὰ πτερύγια, τούτοις γὰρ τὸν ἀέρα κινεῖ καὶ διαπερᾷ· τὰ δ' ἄλλα μέρη οὐχ' ὅμοια τούτοις πρὸς εὐτροφίαν ἔχουσι. διατοῦτο καὶ τὰ γυμνάσια εὐεξίαν τοῖς σώμασι δίδωσι κινοῦντα καὶ τοὺς ἐν αὐτοῖς χυμοὺς πέττοντα καὶ ἀπολεπτύνοντα. οὐ μέχρι δὲ σωμάτων, ἀλλὰ καὶ ἐς αὐτὰς τὰς ψυχὰς τὰ ἐν τοῖς μαθήμασι γυμνάσια ὠφέλειαν ἐμποιεῖ. καὶ κίνησις δὲ μετεξετέρη, κατὰ τὸν Ἱπποκράτην, κρατύνει τὸ σῶμα, ἀργίη δὲ τήκει.

183. Διατί Δωριεῖς εὔχονται κακὴν χόρτου συγκομιδήν. [147]

Κακῶς συγκομίζεται χόρτος βροχὴν ὅτι πλείστην δεχόμενος· χλωρὸς γὰρ θεριζόμενος σήπεται ταχὺ διάβροχος γεγονώς. ὑόμενος δὲ πρὸ τοῦ θέρους ὁ σῖτος βοηθεῖται πρὸς τὰ θερμὰ καὶ νότια πνεύματα· ταῦτα γὰρ οὐκ ἐᾷ πυκνωθῆναι συνιστάμενον τὸν καρπὸν ἐν τῷ στάχυϊ, ἀλλ' ἐξίστησι καὶ διαχέει τῇ θερμότητι τὴν πῆξιν, ἂν μὴ βεβρεγμένης τῆς γῆς ὑγρότης παραμένῃ ψύχουσα καὶ νοτίζουσα τὸν στάχυν. διότι οὖν ἡ κακὴ τοῦ χόρτου συγκομιδὴ διὰ τὴν βροχὴν γίνεται, σήπουσαν τοῦτον καὶ ἀφανίζουσαν· ὁ δὲ ὑετὸς ὠφέλιμος ἐστὶ τῷ σίτῳ πρὸ τοῦ θέρους γινόμενος, ἐξυγραίνει γὰρ αὐτὸν καὶ οὐκ ἐᾷ παρὰ τῶν θερμῶν καὶ νοτίων πνευμάτων θερμαίνεσθαί τε καὶ φλέγεσθαι· διὰ ταῦτα εὔχονται οἱ Δωριεῖς κακὴν χόρτου συγκομιδήν.

184. Διατί ἡ ἄρκτος οὐ διεσθίει τὰ δίκτυα ὅταν ἁλίσκεται. [148]

Λύκοι μὲν καὶ ἄρνες καὶ τἄλλα τῶν θηρίων διαμασσᾶται τὰ δίκτυα, ὅταν ἐν τούτοις γένηται. ἡ δὲ ἄρκτος τοὺς ὀδόντας ἔχουσα εἴσω τοῦ

---

182. 1-5: ib. XXII, p. 391, 4-12. — 12-13: Hippocr., de off. med. 20, III p. 324 Littré; cf. de artic. 52, IV p. 230.
183. 1-8: Plut., aet. phys. XIV, p. 384, 15-24.
184. 1-10: ib. XXVIII, p. 395, 2-12.

---

182. AF, SWH, PB, VR 1 γλυκυτέρα AF — 3 γυμνάζεται-4 μέρος om VR — 4 μάλιστα τοῦτο AF — 5 χερσὶν AF, Plut: χειρὶ Ω — 6 τά: ἃ AF / κινητικώτερα SWH / ἐστὶν om AF — 9 τῷ σώματι PB — 11 εἰς VR om PB — 12 δὲ om AF / μεξετέρη SW
183. AFN, SWH, PB, VR 2 κακὸς VR — 6 τὴν πῆξιν τῇ θερμότητι AF — 7 ἡ ὑγρότης VR / παραμένει NPV — 9 σήπουσα NW / ἀφανίζουσα N / ἐστὶ om PB
184. AF, SWH, PB, V 1 οὐκ ἐσθίει FSWHV / ἁλίσκεται AFHP¹B: -ηται Ω — 2 διαμασσῶνται PB

χάσματος ἥκιστα πρὸς τὰ λῖνα ἐξικνεῖται, προεμπίπτει γὰρ τὰ χείλη διὰ πάχος καὶ μέγεθος. ἢ μᾶλλον ἰσχύουσα ταῖς χερσὶ ῥήγνυσι καὶ διασπᾷ τὸν βρόχον· καὶ ταῖς μὲν χερσὶ διασπᾷ τὸν λίνον, τῷ δὲ στόματι ἀμύνεται τοὺς διώκοντας. ἢ ὅτι αἱ περικυλινδήσεις μάλιστα βοηθοῦσιν αὐτῇ πρὸς τὴν ἀποφυγὴν διασπῶσαι τὸ δίκτυον καὶ ῥηγνύουσαι· ὅθεν πολλάκις περικυλιομένη τοῖς βρόχοις διαιρεῖ τούτους καὶ τέμνει, εἶτα ῥᾳδίως ἐκκυβιστᾷ καὶ σώζεται. πολλῶν οὖν αὐτῇ ὄντων ἀμυντηρίων καὶ ἀφορμῶν εἰς διαφυγὴν τοῖς μάλιστα ἰσχυροτέροις χρῆται, καὶ διολισθαίνει τοῦ βρόχου ὑφ' οὗ κατέχεται.

185. Διατί ἡ τεφθὶς φαινομένη σημεῖον χειμῶνος ἐστίν. [149]

Ἡ τεφθὶς ἰχθύδιον ἐστὶ λεῖον τὴν ἐπιφάνειαν τῆς σαρκός, ὅθεν καὶ μαλάκιον ὠνόμασται. ψιλότατον γὰρ ὂν καὶ μήτε ὀστράκῳ συγκαλυπτόμενον μήτε δέρματι περιεχόμενον μήτε λεπίδι σκεπόμενον, μετὰ τῶν μαλακίων τέτακται. γυμνὸν οὖν πάντη καὶ ἀσκεπὲς ὂν προαισθάνεται δι' εὐπάθειαν τοῦ χειμῶνος· ὅθεν ἐξάλλεται φεύγουσα τὸ ψύχος καὶ τὴν ἐν βάθει ταραχὴν τῆς θαλάσσης, καὶ εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος ἀνανήχεται. ὅταν οὖν τὸ ἰχθύδιον τοῦτο θεάσωνται οἱ θαλαττουργοὶ τῇ θαλάσσῃ ἐπινηχόμενον, χειμῶνα τεκμαίρονται, ὥσπερ ὅταν ἴδωσι τὸν πολύποδα τῆς πέτρας περιεχόμενον ἀνέμων σημειοῦνται φοράν. ἐγκατέσπειρε γὰρ ὁ θεὸς τοῖς ζώοις δυνάμεις προγνωστικάς, δι' ὧν τὰ σωτήρια διώκουσι καὶ τὰ λυπηρὰ διαφεύγουσι.

186. Διατί τὸν μὲν σῖτον ἐν πηλώδει φυτεύομεν γῇ, τὴν δὲ κριθὴν ἐν καταξήρῳ. [150]

Ὁ σῖτος πυκνός ἐστι καὶ ξυλώδης, χαύνη δὲ καὶ εὐδιάθρυπτος ἡ κριθή. ὅθεν ἐκεῖνος μὲν μαλαττόμενος καὶ χαλώμενος ὑπὸ τοῦ ὑγροῦ μάλιστα φύεται, τῇ δὲ κριθῇ διὰ μανότητα σύμφορόν ἐστι τὸ ξηρότερον. ὅθεν πυροφόρος μὲν ἡ πίων καὶ βαθύγειος ἄρουρα, κριθοφόρος δὲ ἡ λεπτόγεως. διότι τῶν σπερμάτων τὰ ἰσχυρὰ πλείονος τροφῆς δεῖται, τὰ δὲ ἀσθενῆ λεπτοτέρας καὶ ἐλαφρᾶς· ἀσθενέστερον δὲ ἡ κριθὴ καὶ μανότερον, ὅθεν οὐ φέρει τὴν πολλὴν τροφὴν καὶ βαρεῖαν. ἑκάστῳ γὰρ βλαστήματι καὶ ἑκάστῳ φυομένῳ χόρτῳ ἢ σπέρματι κατάλληλον χρὴ τὴν ὑποκειμένην παρασκευάζεσθαι γῆν, ὅπως ᾧ χαίρει ἕκαστον τούτῳ τρεφόμενον αὔξηται. χαίρει δὲ τὰ μὲν τοῖς ξηροῖς, τὰ δὲ τοῖς ὑγροῖς, καὶ τὰ μὲν τοῖς ψυχροῖς, τὰ δὲ τοῖς θερμοῖς.

---

185. 1-7: Plut., aet. phys. XVIII, p. 386, 9-14 ; 17-19. — 11-12 : p. 386, 15-17.
186. 1-9 : ib. XVI-XV, p. 385, 12-13 ; 16-19 ; 2-7.

---

184. 4 χάμματος SH / τὸν λῖνον SW / παρεμπίπτει SWHPB παραπέμπει V — 5 ῥήγνυσι καὶ om V — 9 περικυλιομένη πολλάκις PB / περικυκλουμένη AF / διατέμνει AF — 10 ἐγκυβιστᾶ A(F) / ὄντων αὐτῇ SWPB

185. AF, SWH, PB, VR 1, 2 τευθὶς f — 3 μαλάχειον V — 4 περιχεόμενον A(F) — 5 μαλαχίων (V)R^1 — 6 ὅθεν: καὶ add SW — 9 νηχόμενον VR

186. AF, SWH, PB, VR 2 ἐν: ἐν τῇ PBR — 3 ἐστι AF : ὅτι Ω / εὐδιάθρυπτος AF : εὐδιάσηπτος Ω — 4 χυλούμενος VR — 6 βαθύγεως VR — 7 λεπτόγειος AF / δεῖται τροφῆς SW — 8 δὲ[1] om AF — 9 μανώτερον PBR / καὶ om PB — 12 ξηροῖς: ὑγροῖς SWH / τοῖς[2] om PB / ὑγροῖς: ξηροῖς SWH

187. Διατί ἡ ἄμπελος οἴνῳ ῥαινομένη, μάλιστα τῷ ἐξ αὐτῆς, ἀναξηραίνεται. [151]

Ὅτι ὁ ἄκρατος στυπτικὴν ἔχων φύσιν ἐνδύεται ταῖς ῥίζαις καὶ τοὺς πόρους συναγαγὼν καὶ πυκνώσας οὐκ ἐᾷ διϊέναι τὸ ὕδωρ, ὥστε τὸ φυτὸν εὐθαλεῖν καὶ βλαστάνειν. ῥᾷον δὲ ἡ ἄμπελος δέχεται τὸ ἐξ αὐτῆς ἀπιὸν εἰς αὐτὴν ἐπανιόν. εἰ γὰρ καὶ ἀναίσθητον τὸ φυτὸν καὶ οὔτε ὁρμῇ οὔτε φαντασίᾳ διοικούμενον, ἀλλὰ φύσει πρὸς τὸν οἰκεῖον χυμὸν τρεπομένη παρ' αὐτοῦ μᾶλλον ὑπομένει τὴν πύκνωσιν. εἰσὶ μὲν οὖν ὡς ἀληθῶς τὰ πλείω τῶν φυσιολογουμένων δύσφραστα καὶ δυσείκαστα, καὶ δεῖ τὸ μὲν βάθος ἀπογινώσκειν τῆς διαγνώσεως, δέχεσθαι δὲ τὸ διδόμενον ἂν ἔχῃ τὸ πιθανόν. τοῦτο καὶ Πλάτων ἐν Τιμαίῳ βοᾷ, ὡς 'ἐγώ τὲ ὁ λέγων ὑμεῖς τὲ οἱ ἀκούοντες φύσιν ἀνθρωπίνην ἔχομεν'.

188. Διατί τὰ ῥόδα μᾶλλον ἀνθεῖ δυσόδμων τινῶν παραπεφυτευμένων αὐτοῖς. [152]

Οὐ τὰ ῥόδα μόνον, ἀλλὰ καὶ τὰ κρίνα καὶ τὰ ἴα καὶ πάντα ὅσα ἔχει ἡδεῖαν ἀποφοράν, ὅταν σκόροδα καὶ κρόμυα τούτοις παραφυτεύηται, εὐωδέστερα γίνεται, διότι πᾶν εἴ τι δριμὺ καὶ δύσοδμον ἐν τούτοις ᾖ, ἐν τοῖς δριμυτέροις τῶν σπερμάτων φυσικῶς ἀπορρεῖ, καὶ γίνεται τὸ καταλιμπανόμενον εὐωδέστατον καὶ ὀσφραντικώτατον. καὶ τὸ πήγανον δὲ ὑπὸ τῇ συκῇ φυτευόμενον δριμύτερον ἑαυτοῦ γίνεται· μετατίθεται γὰρ εἰς τὸ φυτὸν τὸ ἐν τῇ συκῇ βαρύοσμον. καὶ ταῖς συκαῖς δὲ ἀγρίων παραπεφυτευμένων συκῶν βελτίω τὰ σύκα γίνεται· ὁλκῆς γὰρ ἑκάστῳ καὶ φορᾶς πρὸς τὰ σύμφυλα καὶ ὅμοια γινομένης, ὅσον ἐστὶν ἐν τῇ γλυκείᾳ συκῇ δριμὺ εἰς τὴν ἀγρίαν μεταβαίνει συκὴν καὶ ἄμικτον τὴν τοῦ σύκου διαφυλάττει γλυκύτητα.

189. Διὰ τίνα αἰτίαν τὸ τῶν ἀγρίων συῶν δάκρυον ἡδύ, τὸ δὲ τῶν ἐλάφων ἁλμυρόν. [153]

Τοῦτο διὰ θερμότητα καὶ ψυχρότητα γίνεται. ὁ μὲν γὰρ ἔλαφος ψυχρός, ὅθεν καὶ δειλὸς καὶ φεύγων ἀεί, διώκων δὲ οὐδέποτε, ὁ δὲ χοῖρος θερμός· ἔνθέν τοι τὸ μὲν θερμὸν τοῖς ὀφθαλμοῖς τῶν συῶν ἐγκαθήμενον πέττει τούτοις τὸ δάκρυον καὶ γλυκὺ ἀπεργάζεται, τὸ

---

187. 1-2: ib. XXXI, p. 396, 17-18. — 3-6: p. 397, 5-8; 10-11. — 11-12: Pl., Tim. 29 C.

188. 7-8: cf. Plut., qu. conv. V 9, p. 210, 10-12.

189. 1-5: Plut., aet. phys. XX, p. 389, 5-9. — 5-6: cf. p. 389, 11-14. — 10-12: Pl., Phaedo 85 C.

---

187. AF, SWH, PB, VR 5 δὲ: γὰρ SWH — 7 τῇ φύσει PB — 7-8 τρεπόμενον A(F)B — 8 μὲν om VR — 8-9 τὰ πλείω ὡς ἀληθῶς PB — 10 διαθέσεως AF — 11 καί: ὁ add SW

188. AFDN, SWH, PB, VR 1 δυσόδμων AFD[N]: δυσωδῶν Ω — 2 παραφυτευομένων [N]SWPBVR — 3 καὶ τὰ κρίνα AFD: om Ω — 4 καὶ κρόμυα om PB / αὐτοῖς PB — 5 εἴ τι: ὅτι ἂν N / δύσοσμον FPB — 9 ταῖς: τῶν VR / ἀγρίαις VR — 10 παραφυτευομένων [N]PBVR / βελτίω τὰ: βελτιώτατα BR / γίνονται VR — 11-12 τῇ συκῇ τῇ γλυκείᾳ N — 12 συκὴν om N

189. AFDN, SWH, PB, VR 1-2 om AF — 5 τὸ: καὶ τὸ PB / μὲν om WPB

δὲ ψυχρὸν μεταβαλεῖν τοῦτο τοῖς ἐλάφοις μὴ ἐξισχύον ἁλμυρὸν τοῦτο καὶ φαῦλον ἐᾷ. οὐδὲν γὰρ τῶν πάντων ἀναίτιον, εἰ καὶ πολλὰ τὴν ἡμετέραν διαφεύγει κατάληψιν. δεῖ δὲ μὴ ἀεὶ τὰς ἀληθεστέρας διώκειν τῶν αἰτιῶν, ἀλλὰ καὶ ταῖς πιθανωτέραις ἀρκεῖσθαι, ἐπεὶ καὶ τοῦτο Πλάτων παρακελεύεται ἐν τῷ διαλόγῳ τῷ Φαίδωνι, οὐ τὰ ἀνέλεγκτα μόνον, ἀλλὰ καὶ τὰ δυσεξέλεγκτα προσδεχόμενος.

190. Διὰ τίνα αἰτίαν οἱ χάλικες καὶ αἱ μολιβδίδες ἐμβαλλόμεναι ψυχρότερον τὸ ὕδωρ ποιοῦσι. [154]

Τοῦτο τὸ ζήτημα Ἀριστοτέλης ἐν προβλήμασιν ἐπιχειρήσας θεωρῆσαι οὐκ ἐπελύσατο, ἔστι γὰρ ἐν τοῖς μάλιστα δυσθεωρήτοις. εἰ γὰρ ὁ ἀὴρ περιψύχει τὸ ὕδωρ ἔξωθεν ἐμπίπτων, οὗτος δὲ μᾶλλον ἰσχύει πρὸς τοὺς λίθους καὶ τὰς μολιβδίδας ἀπερειδόμενος — στέγουσι γὰρ αὐτὸν τῇ πυκνότητι καὶ ἀνακλῶσιν εἰς τὸ ὕδωρ, ὥστε διόλου ἰσχυρὰν γίνεσθαι τὴν περίψυξιν — καινὸν οὐδὲν ἐὰν τὰ τῶν χαλίκων λιθίδια καὶ αἱ μολιβδίδες ἐμβαλλόμεναι ψυχρὸν ποιοῦσι τὸ ὕδωρ. διὸ καὶ χειμῶνος οἱ ποταμοὶ ψυχρότεροι γίνονται τῆς θαλάττης· ἰσχύει γὰρ ἐν αὐτοῖς ὁ ψυχρὸς ἀὴρ ἀνακλώμενος, ἐν δὲ τῇ θαλάττῃ διὰ βάθος ἐκλύεται πρὸς μηδὲν ἀντερείδων. ἄλλως τε καὶ ὁ μόλιβδος τῶν φύσει ψυχρῶν ἐστίν, οἵ τε χάλικες τῇ πυκνότητι τὸ ψυχρὸν διὰ βάθους ποιοῦσι.

191. Διὰ τίνα αἰτίαν ἀχύροις καὶ ἱματίοις ἡ χιὼν διαφυλάττεται. [155]

Θαυμαστὸν δοκεῖ εἰ τὰ θερμότατα, ἄχυρον καὶ ἱμάτιον, συνεκτικὰ τῶν ψυχροτάτων ἐστίν· οὐκ ἔχει δὲ οὕτως, ἀλλ' ἑαυτοὺς παραλογιζόμεθα. οὐ γὰρ φύσει θερμὸν τὸ ἱμάτιον, καὶ γὰρ ὁ χιτὼν ψυχρὸς ἡμῖν προσπίπτει τὸ πρῶτον ἐνδυσαμένοις, εἶτα μέντοι θερμαίνει τῆς ἀφ' ἡμῶν θερμότητος ἐμπιπλάμενος καὶ ἅμα περιστέλλων καὶ τὸν ἔξω ἀέρα τοῦ σώματος. ὥσπερ οὖν ἡμᾶς θερμαινόμενον θερμαίνει τὸ ἱμάτιον, οὕτω ψυχόμενον τὴν χιόνα ἀντιπεριψύχει. ψύχεται δὲ ὑπ' αὐτῆς ἀφιείσης πνεῦμα λεπτόν· τοῦτο γὰρ συνέχει τὴν πῆξιν αὐτῆς ἐγκατακεκλεισμένον. ἀπελθόντος δὲ τοῦ πνεύματος ὕδωρ οὖσα ῥεῖ καὶ διατή-

---

190. 1-8: Plut., qu. conv. VI 5, p. 229, 2-3; 8-11; 14-16; 18-20. — 8-9: p. 230, 16-18. — 9-12: p. 229, 20-230, 3. — 12-13: p. 230, 10-11; 13-14.

191. 1: ib. VI 6, p. 230, 20-21. — 2-4: p. 231, 6-10. — 4-7: p. 231, 22-232, 4. — 7-12: p. 232, 8-15. — 12-13: p. 232, 21-22.

---

189. 7 ταῖς PBV — 9 μὴ om N / ἀεὶ μὴ VR — 11 διακελεύεται PB / ἀνέφικτα AF ἀνέλεκτα DN(P)V — 12 δυσεξέλεκτα D δυσέλεκτα N(P)V δυσέλεγκτα WBR εὐσέλεγκτα S εὐέλεγκτα H

190. AFDN, SWH, PB, VR 1 οἱ: αἱ SPVR / αἱ om DS / ἐμβαλλόμεναι om SWH — 3 ἐν προβλήμασιν ἀριστοτέλης SWPBVR — 4 ἀπελύσατο AF / ὁ: καὶ ὁ VR — 5 περιψύχει NPB, Plut: ψύχει AFD παραψύχει Ω / οὗτος AFDN: οὕτω Ω — 5-6 τὸν λίθον PB — 6 στέργουσι AFD στύγουσι SWH / αὐτῶν PB — 8 παράψυξιν SW / χαλκίδων SW / λιθίδια τῶν χαλίκων N — 9 τὸ ὕδωρ ποιοῦσι AFD — 10 τῆς θαλάσσης γίνονται VR — 11 πρὸς τὸ PB — 12 καὶ om PB — 13 βάθους NS, Plut: βάθος Ω

191. AFDN, SWH, PB, VR 4 ἡμῖν ψυχρὸς SW — 6 καὶ[1]-7 σώματος om AF — 8 ἀντιπεριψύχει N, Plut: ἀντιψύχει AFD περιψύχει Ω — 9 τῆξιν PB — 12 γινομένη FP(B) / δὲ om FP

κεται, καὶ ἀπανθεῖ τὸ λευκόν, ὅπερ ἡ τοῦ πνεύματος πρὸς τὸ ὑγρὸν ἀνάμιξις ἀφρώδης γενομένη παρεῖχε. καὶ τὸ ἄχυρον δὲ διὰ κουφότητα μαλακῶς περιπίπτον οὐ θρύπτει τὸν πάγον.

192. Τί ἐστι βούλιμος. [156]

Βούλιμος λέγεται ὁ μέγας λιμός, οἷον πούλιμος τίς, τουτέστι πολὺς λιμός. βουλιμιῶσι δὲ οἱ διὰ χιόνος μάλιστα πολλῆς βαδίζοντες· πάσχουσι δὲ τοῦτο καὶ ἵπποι καὶ ὄνοι καὶ ἡμίονοι, καὶ μάλιστα ὅταν ἰσχάδας ἢ μῆλα κομίζωσιν. ὃ δὲ θαυμασιώτατον ἐστίν, οὐκ ἀνθρώπους μόνον ἀλλὰ καὶ κτήνη ἀναρρώννυσιν ἄρτος πάντων ἐδωδίμων, ὥστε κἂν ἐλάχιστον ἐμφάγωσιν εὐθὺς ἵστανται καὶ βαδίζουσι. περιψύχεται γὰρ ἰσχυρῶς καὶ πυκνοῦται τὰ σώματα τῶν βαδιζόντων διὰ χιόνος, κἀντεῦθεν τὸ θερμὸν ἔσωθεν ἀντιπεριϊστάμενον ἀναλίσκει τὴν τροφήν, εἶτα ἐπιλειπούσης καὶ αὐτῆς ὥσπερ τὸ πῦρ ἀπομαραίνεσθαι. διὸ πεινῶσι σφόδρα οἱ τοῦτο παθόντες, καὶ βραχὺ παντελῶς ἐμφαγόντες εὐθὺς ἀναλάμπουσιν. οἱ δὲ τὴν βουλιμίασιν πάθος ἐν στομάχῳ φασὶ διὰ συνδρομὴν θερμοῦ λειποψυχίαν ποιοῦν.

193. Τίς ἡ αἰτία δι' ἣν εὔθρυπτα γίνεται τὰ ἐν τῇ συκῇ κρεμαννύμενα κρέατα. [157]

Τὸ φυτὸν ἡ συκὴ ἁπάντων ἐστὶν ὀπωδέστατον. θερμὸν οὖν πνεῦμα καὶ δριμὺ καὶ τμητικὸν ἀφίησι, καὶ τοῦτο θρύπτει καὶ πεπαίνει τὴν σάρκα τοῦ ὄρνιθος. ὅθεν τῶν ταύρων ὁ χαλεπώτατος συκῇ προσδεθεὶς ἡσυχίαν ἄγει καὶ ψαύσεως ἀνέχεται καὶ ὅλως ἀφίησι τὸν θυμὸν ὥσπερ ἀπομαραινόμενος. τοῦτο γοῦν τὸ πνεῦμα καὶ τοῖς θύμασιν ἢ ὅλως τοῖς κρέασι προσπίπτον διαιρεῖ τὴν σάρκα καὶ περιθρύπτει καὶ ψαφαρὰν ἀπεργάζεται. διὰ ταῦτά τοι καὶ πρὸ τῆς γλυκείας συκῆς ἕτερα σῦκα τὰ λεγόμενα ὄλυνθοι τὴν ἄχρηστον ὑγρότητα τοῦ φυτοῦ ἐν ἑαυτοῖς ἕλκοντα τὴν χρηστοτέραν ἀφίησι. διὰ ταῦτα φησὶ καὶ ἡ γραφὴ 'ἡ συκὴ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς', τουτέστιν, ἡ ψυχὴ διὰ καθάρσεως τὸ ἄχρηστον ἅπαν ὥσπερ ὄλυνθον ἐξήνεγκε καὶ ἀπωχέτευσεν.

---

192. 1: ib. VI 8, p. 237, 19. — 2-3 : p. 238, 12-13. — 3 : p. 239, 6-7. — 4-7: p. 239, 16-21. — 7-12 : p. 240, 16-17; 20-24. — 12-13 : p. 241, 6-8.

193. 1-2 : ib. VI 10, p. 246, 2-3. — 3 : p. 246, 18-19. — 3-5 : p. 247, 12-14. — 5-7: p. 246, 15-17. — 9-13 : Greg. Nyss., in cant. 2[13], PGr. 44, 872 C-873 A.

---

192. AFN, SWH, PB, VR 1 ἐστιν ὁ SWPBVR — 4 καὶ ὄνοι AFN, Plut : om Ω — 5 κομίζουσιν (N)FS — 6 πάντων μᾶλλον PB — 7 ἐμφάγωσιν AFN. ἐὰν φάγωσιν P(B)V, Plut v l φάγωσιν SW(R) / καὶ: καὶ οὐ SWH — 10 καὶ om PBVR — 12 ἀναλάμπτουσιν SWH

193. AFDN, SWH, PB, VR 1 τὰ om SW / τῇ om SW — 2 κρέα D κρέη N — 6 καὶ[1]-ἀνέχεται om SWH — 7 ἀπομωραινόμενος SWH / γοῦν: γὰρ N — 8 ψαφαρὰν: σαθρὰν N — 12 ἑαυτῆς SW — 12-13 ἅπαν τὸ ἄχρηστον VR — 13 in fine add AFD : οὐκ ἐφικτὸν ἀνθρωπίνῃ φύσει τὴν τοῦ θεοῦ σοφίαν καταλαβεῖν, τοῦ νοῦ ταῖς ὑλικαῖς πέδαις ἀγνοίας ζόφῳ κατεχομένου· λόγοι δὲ καὶ ἀναλογίαι ἁρμονικαί, ἀμυδραί τινες (om D) ταύτης σκιαὶ καὶ ἀπόρροιαι

194. Ἄλλο περὶ ψυχῆς τοῦ αὐτοῦ. [XXXVI]

Ψυχῆς οὐσιώδεις κινήσεις αἱ κατ' ἐνέργειαν μεταβολαί· τοιοῦτον δέ ἐστι τὸ σκοπεῖσθαι καὶ βουλεύεσθαι. ἔστι δὲ κίνησις αὐτῆς καὶ ἡ κατ' οὐσίαν ἀπὸ τῆς νοερᾶς καὶ ἀμερίστου οὐσίας ὑπόβασις. ἔσται οὖν ἡ ψυχὴ τῆς μὲν εἰδητικῆς οὐσίας ἔκστασις, κατ' αὐτὴν δὲ τὴν κίνησιν οὐσιωμένη καὶ τὸ εἶναι ἔχουσα, ἀλλ' οὐ γινομένη ἢ φθειρομένη. κινεῖ δὲ ἡ ψυχὴ τὸ ζῷον οὐ τῷ τοπικῶς κινεῖσθαι, ἀλλὰ διὰ φαντασίας καὶ ὀρέξεως. εἰ γὰρ καὶ ὁ νοῦς κινεῖ τὸν ἄνθρωπον, ἀλλὰ σὺν τῇ ψυχῇ. καὶ ὁ μὲν νοῦς ἐκ τῶν ἀμερίστων εἰδῶν, αἱ δὲ σωματοειδεῖς ζωαὶ ἐκ τῶν περὶ τὰ σώματα μεριζομένων, ἡ δὲ ψυχὴ ἐκ τῶν μεταξύ. Πυθαγόρας δὲ ἔλεγε κινεῖν τὸν οὐρανὸν τὴν ψυχὴν τοῖς ἑαυτῆς λόγοις ἐναρμόνιον φοράν, καὶ γινώσκειν τήν τε ἐν τοῖς ὑπερτέροις καὶ τὴν ἐν τοῖς ὑφειμένοις ἁρμονίαν, ὅτι καὶ τοῖς κρείττοσι κατὰ συνέχειαν συνάπτεται καὶ τῶν ὑφειμένων ἐστὶν αἰτία.

195. Ἄλλο περὶ ψυχῆς τοῦ αὐτοῦ. [XXXVII]

Πᾶσα ψυχὴ ἐνέργειαν λαχοῦσα σώματος μὴ δεομένην, ἐξ ἀνάγκης καὶ οὐσίαν εἴληχε τοιαύτην, ἔξω σώματος καὶ χωριστήν. οὔτε οὖν ἡ αἴσθησις ἔξω σώματος, ἀλλὰ σώμασιν ὡς ὀργάνοις χρῆται πρὸς τὴν τῶν ἔξω θεωρίαν, οὔτε δὲ θυμὸς ἢ ἐπιθυμία χωριστὰ σωμάτων, αἵ τε ὀρεκτικαὶ δυνάμεις μετ' αἰσθήσεως ἐνεργοῦσι. ταῦτα δὲ τὰ εἴδη τῆς ζωῆς, ἄλογα πάντη ὄντα, τὴν κατὰ φύσιν ἐνέργειαν ἔχει μετὰ σώματος. μόνη δὲ ἡ λογικὴ ψυχὴ ἐποχουμένη ταῖς κάτω ζωαῖς διορθοῖ καὶ τὴν αἴσθησιν σφαλλομένην καὶ τὴν ὄρεξιν τοῦ προσήκοντος ἐκτραπεῖσαν, τοῦ τε θυμοῦ κολάζει τὴν προπετῆ κίνησιν, καὶ ἀτιμάζει τὴν αἴσθησιν ὡς ἀπάτης μεστήν· εἶτα πρὸς ἑαυτὴν στραφεῖσα ὁρᾷ τὴν ἑαυτῆς οὐσίαν καὶ προβάλλεται τὰς ἐπιστήμας καὶ εὑρίσκει κόσμον ἑαυτὴν ὄντα τῶν λογικῶν, εἰκόνα μὲν τῶν πρὸ αὐτῆς ἀφ' ὧν ἐξέθορε, παράδειγμα δὲ τῶν μετ' αὐτὴν οἷς ἐφέστηκεν.

196. Ἄλλο περὶ ψυχῆς. [XIII]

Ψυχὴ τελεία μὲν οὖσα καὶ ἐπτερωμένη κατὰ τὸ μέτρον αὐτῆς τῆς καθάρσεως ἀναλόγως τῷ θεῷ σύνεστιν· ἡ δὲ ἀκάθαρτος ὥσπερ ἐν δεσμωτηρίῳ τῷ σώματι κατακέκλεισται. ἀναλαβοῦσα δὲ τὴν ἑαυτῆς δύναμιν καὶ τὸ ἀρχαῖον ἀξίωμα οὐδὲν δεινὸν ἡγήσεται, κἂν ὁτιοῦν γίνηται περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς τοῦ σώματος. ὅταν τοίνυν ἰδεῖν τὸ ἐφ' ἡμῖν ἐθέλῃς, ἴδε ψυχὴν κατὰ φύσιν ζῶσαν· ἡ δὲ μὴ τοιαύτη

---

195. 2-3: Procl., de prov. et fato, p. 158, 25-28 Cousin (1864). — 3-6: p. 159, 6-8; 10-13; 17-18. — 6-9: p. 159, 29-160, 4. — 10-11: p. 160, 26-28. — 11-14: p. 161, 4-8.
196. 2-4: ib. p. 167, 1-6. — 4-6: p. 167, 25-28. — 6-8: p. 168, 15-20. — 8-9: p. 169, 4-5. — 9-10: p. 169, 19-21. — 11-12: p. 170, 6; 9-12. — 12-13: p. 170, 31-33. — 13-14: p. 171, 32; 172, 19-20.

---

194. PB 3 βούλεσθαι B — 7 φαντασίαν B — 9 δὲ om B
195. PB 4 ὡς om P
196. PBC 1 ἄλλο om C — 2 αὐτῇ P[1][P[2]]B — 6 γένηται C — 8 ζωὴ C — 11 δέ[2] om PB

χρωμένη ζωῇ ἀσθενὴς καὶ κακίας ἀνάπλεως. καὶ τοῦτο δὲ ἴσθι, ὡς τῶν γνώσεων ἡ μὲν ἄλογος τὴν αἰτίαν τοῦ γινομένου οὐκ οἶδεν· ἡ δὲ εὐθὺς ὑπὲρ ἐκείνην τὰς μὲν αἰτίας γινώσκει, ἐξ ὑποθέσεων δὲ ἄρχεται· τρίτη δὲ γνῶσις ἐστὶν ἡ καλουμένη ἀνυπόθετος, αὕτη δέ ἐστιν ἡ κατὰ Πλάτωνα διαλεκτική· τετάρτη γνῶσις ἡ νοερά, ἡ αὐτοπτικῶς τὰ ὄντα θεωμένη· πέμπτη ἡ ὑπὲρ νοῦν, ἡ καλουμένη ἔνθεος, ἡ τὸ ἓν αὐτὸ τῷ οἰκείῳ ἑνὶ διαγινώσκουσα.

197. Περὶ ψυχῆς. [XXXVIII]

Ψυχὴ πᾶσα μετεωροποροῦσα ταῖς ἀρεταῖς ἐπὶ τὴν εὐδαιμονεστάτην καὶ τελεωτάτην ἄνεισι τοῦ θεοῦ θεωρίαν. ὅταν δὲ πρὸς τὴν ἄνοδον ἐξασθενήσῃ, τῆς μὲν τοῦ ὄντος θέας ἄμοιρος γίνεται, δευτέραις δὲ ἄλλαις κατασπᾶται δυνάμεσι καὶ περὶ τὸν κόσμον στρεφομέναις. ἀσθένεια οὖν τῆς ψυχῆς τὸ τῆς ἑστίας ἐκείνης ἀμοιρεῖν καὶ φέρεσθαι πρὸς τὰ κάτω· δύναμις δὲ αὖθις ἐκεῖ γενέσθαι πρὶν εἰς βάθος πεσεῖν. κατιοῦσα δὲ ἀπὸ τῆς πρώτης τοῦ θεοῦ θεωρίας ἥξει δηλαδὴ εἰς τὸν λειμῶνα περὶ οὗ Πλάτων πολὺν ποιεῖται λόγον, καὶ θεάσεται τὰς ἐκεῖ ψυχάς· ἥξει δὲ καὶ ὑπὸ τῶν τῆς ἀνάγκης ὅρων. ἀποδυτέον οὖν ἡμῖν τοὺς χιτῶνας οὓς κατιόντες ἀμφιεννύμεθα, καὶ γυμνοῖς ἐντεῦθεν πορευτέον ἐκεῖσε, καὶ νοῦν ἡγεμόνα ποιητέον τῆς ἔνδον ζωῆς ἀντὶ τῆς αἰσθήσεως.

198. Περὶ ὁμοϋποστάτου. [XXXIX]

Ὁμοϋπόστατα λέγονται ὅσα διαφέρει μὲν ἀλλήλων κατὰ τὴν οὐσίαν, εἰς μίαν δὲ καὶ τὴν αὐτὴν ὑπόστασιν ἀλλήλοις συνεληλύθασιν. οἷον ἐπὶ τοῦδε τοῦ ἀνθρώπου, ὁποῖον ἂν εἴποις· οὗτος γὰρ ἐκ δύο ἑτεροουσίων σύγκειται πάντως, ψυχῆς τὲ καὶ σώματος. ταῦτα γοῦν τὰ μέρη αὐτοῦ, ἡ ψυχὴ καὶ τὸ σῶμα, διάφορα πρὸς ἄλληλα κατὰ τὴν οὐσίαν εἰσίν, ἑτεροία γὰρ ἡ ἑκατέρου οὐσία· ὁμοϋπόστατα δὲ κατὰ τὴν Χριστιανικὴν δόξαν ὀνομάζονται, ὅτι οὐδέτερον τοῦ ἑτέρου προγενέστερον ἢ τῷ χρόνῳ πρεσβύτερον, ἀλλ' ὁμοῦ ψυχὴ καὶ σῶμα γεγόνασιν εἰς ἀπαρτισμὸν μιᾶς ὑποστάσεως. ἀλλὰ καὶ κατὰ τὸν τῆς Ἑλληνικῆς φιλοσοφίας λόγον εἰκότως ἂν καλοῖντο ὁμοϋπόστατα, ἐπειδὴ κἂν διάφορος ἡ οὐσία τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀλλά γε συνελθόντα ἀλλήλοις ἓν εἶδος εἰδικώτατον εἴτουν μίαν ὑπόστασιν ἀπετέλεσαν.

199. Περὶ τῆς κατὰ Πυθαγόραν φιλοσοφίας. [XL]

Πυθαγόρας ἀριθμοὺς ἔλεγε τὰ εἴδη ὡς πρῶτα διακεκριμένα [μετὰ] τῆς ἀμερίστου ἑνώσεως· τὰ γὰρ ὑπερείδεα καὶ ὑπὲρ διάκρισιν. καὶ τὸ

---

197. 2-3: Procl., de mali subs. p. 220, 11-16. — 3-5: p. 220, 29-221, 1. — 6-7: p. 221, 9-12. — 8-10: p. 221, 27-30 (Pl., Resp. X 614 E). — 10-13: Procl. p. 222, 23-28.
198. 2-5: Maxim. Conf., variae defin., PGr. 91, 152 A 9-12; cf. supra § 6.

---

197. PB 5 ἀνασπᾶται B — 6 τῆς[1] om P — 8 θεοῦ: ἀνδρὸς B
198. PB 2 ἀλλήλων om B — 8 ὅτι: ὅτι καὶ P
199. PB 2 μετὰ delevi — 3 γάρ: γὰρ καὶ P

μὲν παντελὲς τῶν εἰδῶν πλῆθος διὰ τῆς δεκάδος ᾐνίττετο, τὰς δὲ πρώτας εἰδικὰς ἀρχὰς τριάδα καὶ τετράδα ἐδόξαζε· τὴν γὰρ μονάδα καὶ τὴν δυάδα οὐδὲ ἀριθμοὺς ἔλεγε. μετὰ δὲ τοὺς ἀριθμοὺς ἐν ζωαῖς δευτέραις καὶ πολλοσταῖς τὰ γεωμετρικὰ πρὸ τῶν φυσικῶν ὑπετίθετο μεγέθη· καὶ τὸ μὲν σημεῖον εἰς τὴν μονάδα ἀνῆγε, τὴν δὲ γραμμὴν εἰς τὴν δυάδα, καὶ τὴν ἐπιφάνειαν εἰς τὴν τριάδα, τὸ δὲ στερεὸν εἰς τὴν τετράδα. ἀνῆγε δὲ καὶ τὰς ψυχικὰς πάσας γνώσεις, τήν τε νοερὰν καὶ τὴν ἐπιστημονικὴν καὶ τὴν δοξαστικὴν καὶ τὴν αἰσθητικήν, εἰς τοὺς αὐτοὺς ἀριθμούς. καὶ τὴν ψυχὴν ὡς γνωστικὴν τῶν ὄντων ἐκ τῶν ἀρχῶν τῶν ὅλων ἐδημιούργει, ἵνα καὶ αὐτὰς καὶ τὰ ἐξ αὐτῶν γνωρίζῃ, ἐπειδὴ τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκεται.

200. Τοῦ αὐτοῦ. [XLI]

Περὶ δὲ χορευούσας οὐ βιασόμεθα τὸν λόγον· αὐτὸ γὰρ τοῦτο ὃ ποιοῦσι, στρεφόμεναι καὶ ἀντιστρεφόμεναι, προᾴδουσαι καὶ ἀντᾴδουσαι, ἱστάμεναί τε καὶ συγκινούμεναι, ἀντανακλώμεναί τε καὶ ἀντελιττόμεναι, προϊοῦσαί τε καὶ ὑπαπιοῦσαι, εἰκών ἐστι τῆς τε οὐρανίας κινήσεως καὶ τῆς παντοδαπῆς χορείας τῶν περὶ τὸν οὐρανὸν πλανήτων ἀστέρων καὶ ἀπλανῶν. ἐκ δεξιῶν μὲν οὖν συγκινούμεναι τῆς ἀπλανοῦς τὴν κίνησιν εἰκονίζουσιν, ἐξ ἀριστερῶν δὲ ἀντικινούμεναι τὸν δρόμον τῶν πλανήτων χαρακτηρίζουσι· καὶ ἱστάμεναι μὲν τοὺς στηρίζειν δοκοῦντας διερμηνεύουσιν, ᾄδουσαι δὲ καὶ ἀντᾴδουσαι τὴν ἐκ τῶν ἀντικινήσεων ἀπόρρητον ἑρμηνείαν διασαφοῦσιν. ἡ δέ γε προᾴδουσα τὸ πρῶτον μέλος τῆς ἀπλανοῦς ἀνακράζει, πρὸς ὃ δὴ τὰ λοιπὰ μουσουργεῖται μέλη τῶν κινουμένων σφαιρῶν. προϊοῦσαι δὲ εἰς τοὔμπροσθεν καὶ αὖθις ὑπαπιοῦσαι τοὺς προποδισμοὺς καὶ ὑποποδισμοὺς διαγράφουσι τῶν ἀστέρων. καὶ συναγόμεναι μὲν εἰς ταυτὸ τὰς πολυθρυλλήτους συνόδους ὑποσημαίνουσιν, ἀποδιαιρούμεναι δὲ καὶ ἀντανακλώμεναι καὶ παντοίοις σχηματισμῶν εἴδεσι ποικιλλόμεναι τὰς ἐκ τῶν ἀποστάσεων ἢ συναφῶν μυρίας διαφορὰς τῶν σχημάτων παραδεικνύουσιν. ἐπιπλέκουσαι δὲ τοὺς δακτύλους ἀλλήλαις τὴν εἰς ταυτὸ σύμπνοιαν τῶν κινουμένων φωστήρων ἐξακριβοῦσι, καὶ τὸν ἕνα καὶ κοινὸν σύνδεσμον δι' ὃν σύμπνοα τὰ μέρη καθέστηκε τῇ ὁλότητι. καὶ νῦν μὲν συγκατακροτοῦσαι τὴν γῆν τὰς ἐκεῖθεν εἰς ἡμᾶς συμπάσας ἀπορροίας παραδηλοῦσι· νῦν δὲ τὼ πόδε διαμείβουσαι καὶ παρ' ἕνα ταύτης ὑπεραλλόμεναι τὸ ἐνιαχοῦ ἄσχετον πρὸς τὰ τῇδε διερμηνεύουσι καὶ ἀσύνδετον. καὶ ὅλως ἡ τοιαύτη χορεία ἑρμηνεία ἐστὶ συμφωνοτάτη τῶν οὐρανίων περιφορῶν.

201. Ὁ πρὸς τῷ τέλει ἐπίλογος. [XLII]

Φιλοτιμησάμενός σοι, θειότατε βασιλεῦ, πολλὰ νοήματα περὶ ψυχῆς εἰσενεγκεῖν, τὰ μὲν ἀπὸ τῶν ἡμετέρων ἱερῶν κρατήρων ἀρυσάμενος

---

199. 5 ἰδικὰς B — 6 ζωαῖς: ταῖς B — 8 μὲν: μετὰ B

200. PBC 1 λόγος πάνυ ὡραιότατος add C — 2 δὲ om C — 3 παράδουσαι C — 7 οὖν om C — 8 ἐξεικονίζουσιν C — 19 ἐπιπλέκουσι PB — 22 συγκροτοῦσαι C — 25 χορεία: θεωρία C

201. PB 3 συνεισενεγκεῖν B

συναγήοχα, πολλὰ δὲ καὶ ἀπὸ τῶν ἁλμυρῶν ὑδάτων, φημὶ δὴ τῶν Ἑλληνικῶν. εἰ γὰρ καὶ ὅση μοι δύναμις διεκάθηρα καὶ πρὸς τὰς ἡμετέρας ἀληθινὰς δόξας μετενεγκεῖν ἐσπούδασα, ἀλλ' οὐ πάντη ἀφελεῖν αὐτῶν τὴν ἰδιότητα ἠδυνήθην. σὺ δέ μοι τῶν μὲν ἀληθεστέρων λόγων καὶ θειοτέρων μὴ μόνον τὴν εἴδησιν ἔχε, ἀλλὰ καὶ τὴν πίστιν ἀκριβεστάτην· τὰς δὲ πρὸς τὸ Ἑλληνικώτερον παρεγκεκλιμένας δόξας ὥσπερ ἀπαριθμουμένου ἐμοῦ λάμβανε, καὶ τοσοῦτον ἐξ αὐτῶν κέρδησον, ὅτι ἡμεῖς μὲν οὕτως, οἱ δὲ τῆς θύραθεν σοφίας ἄλλως ἐδόξασαν· καὶ εἰδείης τὰ μὲν τῶν ἡμετέρων γραφῶν ῥόδα ἄντικρυς ὄντα, τὰ δὲ τῶν ἀλλοτρίων σὺν τῷ ἄνθει καὶ τὸ φαρμακῶδες ἐγκεκρυμμένον ἔχοντα.

---

201. 12 τῶν om B

APPENDIX.

I.

Τοῦ αὐτοῦ ἀντιγραφὴ πρὸς μοναχὸν ἐρωτήσαντα περὶ ὁρισμοῦ τοῦ θανάτου.

Οὐχ' ὡς ἠπόρηται τὸ προβληθὲν παρὰ σοῦ ζήτημα, λογιώτατε πάτερ, οὕτως ἠρώτησας· ὡς γὰρ δὴ προετείνω, τοῦ ἐρωτηθέντος ἡ λύσις πρόχειρος. οὐδὲν γὰρ ἀόριστον τῷ θεῷ, οὔτε ζωὴ οὔτε θάνατος, οὐ γένεσις, οὐκ οὐσία, οὔτε τῶν ὄντων οὔτε τῶν γινομένων οὐδέν. εἰ γὰρ δὴ τὸ θεῖον ὅρος ἐστὶ τοῦ παντός, πῶς δή τι τῶν πάντων ἐκείνῳ ἀοριστήσειε; καὶ εἰ τὸ πᾶν συνειλήφει τοῦ χρόνου, μᾶλλον δὲ καὶ πρὸ χρόνου καὶ πρὸ αἰῶνος ἐφ' ἑαυτοῦ ἕστηκε, πῶς τὸ μὲν παρὸν εἰδείη, τῶν δὲ μελλόντων τὶ ἀγνοήσειε; περὶ ἡμᾶς γὰρ ταῦτα, οἷς ὁ χρόνος καταμεμέρισται, οἳ τὸ μὲν ἐνεστὼς ἴσμεν ὁπόσον ἡμῖν εἰς γνῶσιν ἔλθοι, τὸ δὲ μέλλον παντάπασιν ἠγνοήκαμεν, ὅτι μηδὲ συζῶμεν τῷ ἐπιόντι, ἀλλὰ τοῦ ἐσομένου τῷ κατὰ τὸ ἐνεστὼς ζῆν παντάπασιν ἀπῳκίσμεθα. ῥᾴστη τοιγαροῦν πρὸς ὅπερ ἠρώτησας ἡ ἀπόκρισις.

Τὸ δὲ θρυλλούμενον τουτὶ ζήτημα, ἵνα δή σοι κεφαλαιωδῶς καὶ ἐν ἐπιστολῆς σχήματι συνείρω τὸ πᾶν, οὕτω δὴ προβάλλονται οἱ δεινότεροι, οὐ περὶ ὅρου ζωῆς μόνον, ἀλλὰ καὶ περὶ παντὸς ἑτέρου τῶν γινομένων τὸν λόγον προάγοντες. ἐρωτῶσι γὰρ εἰ οἶδε τὸ μέλλον ὁ θεός· εἶτα δὴ συνομολογήσαντος τοῦ προσδιαλεγομένου — οὐδὲ γὰρ ἦν ἀντιλέγειν πρὸς κοινὴν ἔννοιαν — ἐπάγουσι· πότερον δὲ ὥρισται αὐτῷ ἡ γνῶσις τοῦ μέλλοντος ἢ ἀοριστaίνει ὥσπερ ἡμῖν; δόντων δὲ ἡμῶν ὡρίσθαι αὐτῷ τὴν γνῶσιν — θάτερον γὰρ ἄτοπον — εὐθὺς ὡς ἑπόμενόν τι ἄτοπον ἐπιφέρουσι· φασὶ γὰρ ὡς, εἰ ὡρισμένως εἰδείη τὸν

De his tractatibus vide prolegomena mea, pp. 6-7; inediti erant, praeter I, quem ed. Io. F. Boissonade (Psellus, de operatione daemonum etc., Norimbergae 1838, pp. 155-9; PGr. 122, 915-20).

P = Paris. gr. 2087. M = Monac. gr. 384. U = Paris. gr. 1267. T = Paris. gr. 1000. C = Paris. gr. 2231. (U et T ex collatione Boissonadii.)

I. PMU, T 1-2 περὶ ὅρου ζωῆς, τοῦ ψελλοῦ U τοῦ σοφωτάτου ψελλοῦ ἀντιγραφὴ πρὸς ἐρώτησίν τινος μοναχοῦ περὶ ὁρισμοῦ τοῦ θανάτου T — 3 Οὐχ'-5 γάρ: οὐδὲν U — 3 παρὰ σοῦ προβληθὲν T — 6 γενομένων T / δὴ om T — 8 καί[1] om P / συνείληφε U — 10 οἷς: ὧν U — 10-11 καταμερίζεται T — 11 ἐνεστὸς U ἐστὼς PM[1] (-ὸς M[2]) / ὅσον U / ἔλθοι: ἥκει U — 12 ἠγνοήσαμεν U / μὴ P — 13 τῷ: τὸ U / ἐνεστὸς U — 15 τοῦτο U / σοι: καὶ add U — 16 ξυνείρω T — 17 μόνον ζωῆς T — 18 ὁ om U

τε ἐσόμενον δίκαιον ὁ θεὸς καὶ τὸν ἐσόμενον ἄδικον τόν τε οὕτως ἢ ἐκείνως τεθνηξόμενον, οὔθ' ὁ δίκαιος παρ' ἑαυτοῦ δίκαιος οὔθ' ὁ ἄδικος ἀρχὴν ἀδικίας τὴν προαίρεσιν ἐκληρώσατο· ἀλλ' οὐδ' ὁ φονεὺς ἄδικος, περιώρισται γὰρ τῷ τεθνηκότι ὁ τῆς ζωῆς χρόνος, καὶ εἰδότι θεῷ ὡς οὕτως τεθνήξαιτο ἐπηκολούθησεν ἡ ἀναίρεσις. πῶς γὰρ ἦν εἰδέναι μὲν ὡρισμένως τὸν θεὸν ἐκεῖνον ἀναιρεθήσεσθαι, ἐκφυγεῖν δὲ τοῦτον τὸν τρόπον τῆς ἀναιρέσεως; ὥστε καὶ ὁ φονεὺς προγνώσει θείᾳ ὑπουργηκὼς οὐ μόνον ἀθῶος παντάπασι λογισθήσεται, ἀλλὰ καὶ ἀμοιβῆς ἄξιος ὡς τὸ τοῦ δεσπότου θέλημα ἐκτετελεκώς.

Τὸ μὲν οὖν ζήτημα οὕτω δὴ συντιθέασιν οἱ περὶ ταῦτα δεινοί· ἡ δέ γε λύσις οὕτως αὖθις παρὰ τῶν σοφωτέρων ἐπάγεται πρὸς τὸ πρόβλημα, ὡς ἡ γνῶσις μέση οὖσα τοῦ γινωσκομένου καὶ τοῦ γινώσκοντος ὥρμηται μὲν ἀπὸ τοῦ γινώσκοντος, εἰλεῖται δὲ περὶ τὸ γινωσκόμενον καὶ ὡμοίωται τῷ γινώσκοντι. ὁποῖον τί λέγω· ἄλλη ψυχῆς γνῶσις καὶ ἄλλη νοῦ καὶ ἄλλη θεοῦ· ἡ μὲν οὖν ψυχικῶς οἶδεν, ὁ δὲ νοερῶς, ὁ δὲ ὑπὲρ νοῦν καὶ ἐπέκεινα. οὐκ ἀλλοιοῦσι δὲ αἱ γνώσεις τὰ πράγματα, ἀλλ' αἱ μὲν κατὰ τὰ γινώσκοντα ἵστανται, τὰ δὲ γινόμενα τῆς οἰκείας οὐκ ἐξίστανται φύσεως. ὁ μὲν οὖν θεὸς ὅρος ὢν ὁ πάντων ἀκρότατος κατὰ τὴν οἰκείαν ἀκρότητα οἶδε τὰ πράγματα, ὡρισμένως μὲν τὰ ἀόριστα, ἀναγκαίως δὲ τὰ ἐνδεχόμενα. οὐ γὰρ συμμεταβάλλεται τοῖς γινομένοις, ἀλλ' ὡς ἔχει φύσεως τὴν τάξιν οἶδε τῶν ὄντων· τὰ δὲ κατὰ τὴν οἰκείαν φύσιν ῥεῖ τὲ καὶ φέρεται.

Φέρε γὰρ πρὸς θεοῦ· τῶν σωμάτων διεστηκότων πῶς οἶδε ταῦτα θεός, διαστατῶς ἢ ἀδιαστάτως; οὐκ ἀδιαστάτως; οὐ γὰρ ἐρεῖς που θάτερον· οὐ γὰρ διίσταται τοῖς βάθεσι τούτων ἢ τοῖς μήκεσιν ἢ τοῖς πλάτεσιν, ἀλλ' ἀδιάστατον αὐτῶν τὴν γνῶσιν προέλαβεν. ἆρ' οὖν τὸ οὕτως εἰδέναι τὰ σώματα τὸν θεὸν τὰς διαστάσεις ἐκείνων μετήμειψε; κατὰ τὸν αὐτὸν λόγον καὶ τὴν φύσιν ὑπὲρ φύσιν εἰδὼς καὶ τὸ ἀόριστον ὡρισμένως οὔτε τὴν φύσιν μετήλλαξεν οὔτε τὴν ἀοριστίαν τῶν πραγμάτων μετήμειψεν· οὐ γὰρ αἰτία τῶν γινομένων ἡ πρόγνωσις. οὐ τοίνυν, εἰ τῶν μὲν προέγνωκε τὴν φαυλότητα, τῶν δὲ τὴν δικαιοσύνην προέλαβε, διὰ ταῦτα ἐξ ἀνάγκης οἱ μὲν φαῦλοι, οἱ δὲ γεγένηνται δίκαιοι· ἀλλ' ἐκεῖνός τε κατὰ τὴν οἰκείαν φύσιν τὴν γνῶσιν ἔσχε τῶν γινομένων κἀκεῖνα κατὰ τὸν ἴδιον εἱρμὸν φέρεται. καὶ τὸν ἀγχόνῃ τοίνυν χρησάμενον οἶδε μὲν ὡς οὕτω τεθνήξαιτο — μὴ γάρ σε διαλάθῃ τὸ πρότερον ὁμολόγημα, ὡς ἡ γνῶσις ὡμοίωται τῷ γινώσκοντι, — οὐ διὰ τὴν γνῶσιν δὲ ἐκεῖνος βιαίως ἐκπέπτωκεν, ἀλλὰ διὰ τὴν προαίρεσιν πονηρῷ

33-66: Procl., de prov. et fato, p. 193, 7 ss. Cousin (1864); id., de decem dubit. 2, p. 83, 25 ss.; id., instit. theol. 124.

I. 24 ὁ θεὸς om UT — 25 παρ': ἀφ' T — 28 ὡς αὕτως M ὡσαύτως U / τεθνήξεται T / ἦν: ἂν T — 29 ὡρισμένως om PM — 31 οὐ μόνον om PMU — 31 λογισθήσεται-32 ἐκτετελεκώς om PMU — 34 τῶν om PMU / ἐξάγεται U — 37 οἷον U / ψυχὴ P — 43 ἐκδεχόμενα T — 46 φέρε-τῶν: τῶν οὖν U / φέρεται PM — 47 οὐκ: πάντως U — 49 ἀλλ' ἀδιαστάτων PM ἀλλὰ διαστατὸν T / τὴν γνῶσιν αὐτῶν P / προέλαχεν M — 51 κατὰ: ὁμοίως κατὰ U — 53 γιγνομένων PM — 54 προέγνω U — 57 κἀκεῖνος T — 58 οὕτως PM / διαλάθοι PM — 60 ἐμπέπτωκεν PMU

χρησάμενος δαίμονι. καὶ τὸ σύμπαν εἰπεῖν ὥστε σοι ἐπιλελῦσθαι τὸ ζήτημα, τῷ μὲν θεῷ κατὰ τὴν πρόγνωσιν τῆς ἑκάστου ζωῆς τὸ συμπέρασμα ὥρισται, προέλαβε γὰρ ἐκεῖνος τὴν γνῶσιν τοῦ ἐσομένου· ἡμῖν δὲ ἀοριστaίνει τὸ συμβησόμενον. ὥστε τρόπον μέν τινα ὥρισται, τρόπον δὲ καὶ οὐχ' ὥρισται· ᾧ μὲν γὰρ οἶδε θεὸς ὥρισται, ᾧ δὲ ἡ γνῶσις οὐχ' ὁρίζει τὸ γενησόμενον οὐχ' ὥρισται. ἐπιδιαιτῶ δὲ καὶ τοῖς τῶν πατέρων ἡμῶν λόγοις, ἵν' εἰ τισὶ μὲν ἐντύχοις ὡς περὶ ὡρισμένου τοῦ συμπεράσματος τῆς ζωῆς ἡμῶν λέγουσι, τισὶ δὲ ὡς περὶ ἀορίστου, μὴ διαφωνεῖν πρὸς ἄλληλα οἰηθείης τὰ δόγματα, ἀλλ' ἐπικρίνοις ὡς ταῦτα μὲν κατὰ τοῦτον τὸν τρόπον ἐξενήνεκται, ἐκεῖνα δὲ κατὰ τὸν ἕτερον.

Πρὸς δὲ τούτοις εἰδέναι σε βούλομαι ὡς οὐχ' ἁπλῆ τις ἐστὶν ἡ καθ' ἡμᾶς φύσις, ἀλλὰ πλήρεις ἐσμὲν καὶ τοῦ ὄντος καὶ τῆς γενέσεως, διοικούμεθά τε τὰ μὲν ὑπὸ προνοίας, τὰ δ' ὑπὸ φύσεως, τὰ δ' ἐκ προαιρέσεως. καὶ οὐ τοῦτο λέγω, ὡς διέστηκέ τι τῆς προνοίας καὶ τοῦ θεοῦ, ἀλλ' ὅτι καὶ τἄλλα ἐκεῖθεν τὴν οὐσίαν λαχόντα ἢ φυσικῶς περὶ ἡμᾶς ἐνεργεῖ ἢ προαιρετικῶς. διὰ ταῦτα τοιγαροῦν καὶ κρυμοὶ καὶ θάλπη ἐκφέρουσιν ἡμᾶς τῆς ζωῆς, ὅτι καὶ φύσεως μετεσχήκαμεν· καὶ αὖθις ἄτοποι γνῶμαι σβεννύουσιν ἡμῶν τὴν ζωήν, παρὰ τὸ μέρος τῆς προαιρέσεως. ἃ πάντα οἶδε μὲν ὡρισμένως ὁ θεός, ἐκεῖνα δὲ κατὰ τὴν ἑαυτῶν φύσιν τὴν ἐνέργειαν ἔχουσιν.

Ἔχεις ἰδοὺ τὴν λύσιν ἐπὶ βραχέος οὗπερ ἠρώτησας, πατέρων ἐμοὶ λογιώτατε καὶ σεβασμιώτατε.

II.

Περὶ αἰῶνος.

Αἰῶνος εἰκόνα τὸν χρόνον ἐπίστασο· εἰ δὲ τοῦτο, ἀντιστρέψας ὁ λόγος ἐρεῖ, χρόνου παράδειγμα τὸν αἰῶνα τίθεσο. οὐ γὰρ ἐκ ταυτομάτου τὰ ἐνταῦθα, ἀλλ' ἀπὸ κρείττονος ῥυέντα χείρονα· γεννᾶται γὰρ ἄνωθεν ἕκαστον, τὸ καλόν, τὸ δίκαιον, τὸ ἑστώς, ἡ ὁμοιότης, ἡ ἁρμονία, ἡ συμφωνία. τὰ μὲν γὰρ ἐνταῦθα οὐχ' οἷα τὰ πρῶτα, ἀλλ' ἐκείνων εἰκονίσματα καὶ μιμήματα. ἐπεὶ καὶ ἡ ἀλήθεια ἐνταῦθα μὲν λόγων ἐστὶ συμφωνία, ἐκεῖσε δὲ οὔτε λόγοι οὔτε ὀνομάτων καὶ ῥημάτων συζυγίαι, ἀλλ' αὐταὶ τῶν ὑποκειμένων ἐκφάσεις ἀφθέγκτως καὶ ἀκινήτως ἑαυτοῖς σονομολογούντων καὶ τὴν ἑαυτῶν φύσιν ἀποδεικνυόντων. ὥσπερ οὖν τἄλλα ἐκεῖθεν γεγένηται, οὕτω δὴ καὶ ὁ χρόνος αἰῶνος ἐκπέπτωκε.

Λέγω δὲ ταῦτα οὐ τὰς Πλατωνικὰς ἰδέας παρεισάγων τῷ λόγῳ, ἀλλ' εἶναι πειθόμενος κόσμόν τινα ἄλλον ὑπὲρ ἡμᾶς τῇ ἀιδίῳ καταστάσει κατάλληλον, ἔνθα ἡ τοῦ ἀγαθοῦ φύσις, ἡ τοῦ καλοῦ, ἡ τῆς δικαιοσύνης αὐγή, ἡ τῆς ἀληθείας λαμπρότης, ἡ ὁσιότης, ἡ ξύμπασα, ἵν' οὕτως εἴποιμι, ἀρετή, οὐ νενοθευμένην τὴν ἰδέαν ἔχοντα, οὐκ ἐπίμικτον, ἀλλ'

I. 61 χρησαμένην PM — 62 τῷ: ὅτι τῷ U / τὸ τῆς ἑκάστου ζωῆς T — 63 γὰρ: δὲ U — 65 γὰρ om M — 67 ἐντύχης U — 69 δόγματα: συμπεράσματα τῶν δογμάτων U / ἐπικρίνης U — 79 ἅπαντα P / ὁ om PM — 80 ἔχουσιν: des U — 81 ἰδοὺ: οὖν PM / ἐρώτηκας T

II. PM, C 1 λόγος τοῦ ψελλοῦ περὶ αἰῶνος C — 4 ἀπὸ τοῦ M — 8 ἐκεῖνα C — 9 ἐμφάσεις C — 10 ἀποδεικνύντων M

ἀποστίλβοντα καὶ κάλλει καὶ μεγέθει καὶ ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἑστηκότα πάγιά τε καὶ ἀμετακίνητα. τὰ γὰρ ἐνταῦθα οὐκ οἶδα εἴτε ἀπορροαὶ τῶν ἐκεῖσε εἴτε μετοχαὶ εἴθ' ὁμοιώσεις. ἀλλ' οὐδὲ ἐκεῖνα ἀγέννητα, οὐδὲ τὸ ἐκεῖσε καλὸν τὸ πρώτως καλόν, οὐδὲ τὸ ἀγαθὸν αὐτὸ ὅπέρ ἐστι τἀγαθόν· ἐκπεπτώκασι γὰρ κἀκεῖνα τῆς ὑπερεχούσης καὶ ἀρρήτου φύσεως. πρὸς μὲν οὖν τὰ τῇδε ἐν παραδείγματος λόγῳ ἐκεῖνα ἐστήκεσαν, πρὸς δὲ τὸ πρῶτον αἴτιον καὶ ὑπὲρ ὃ τῶν πάντων οὐδὲν εἰκόνες εἰσὶν ἀκριβεῖς. ἀλλὰ περὶ μὲν ἐκεῖνο ὑπὲρ κατάληψιν πάντα· τὸ γὰρ ἀληθὲς οὔτε αἰὼν ἐκεῖσε, οὔτε οὐσία, οὔτε στάσις, οὔτε κίνησις, οὐ ταυτότης, ἀλλ' ἄρρητα πάντα καὶ ἀνονόμαστα. τὰ γοῦν εὐθὺς πρὸς ἐκεῖνο ἀφομοιούμενα ζῶντά τε καὶ στάσιμα καὶ αἰώνια. ὁ τοίνυν παρ' ἐκείνοις αἰὼν οὐ τὸ ὑποκείμενόν ἐστιν, οἷον οὐσία τὶς ὑπεστρωμένη τοῖς ἄλλοις, ἀλλὰ ταύτης τὲ οὔσης καὶ τῆς νοερᾶς κινήσεως καὶ τῆς ἐν ταυτῷ στάσεως καὶ τῆς κατὰ τὸ ἀπαράλλακτον ταυτότητος, συσταλείσης τῆς ἑτερότητος, τὸ ἐκ τούτων ἢ σὺν τούτοις ἐκλάμπον, οὐκ ἔξωθεν οὐδ' ὡς ἐπεισοδιῶδες ἀλλ' ἐμφύτως καὶ οὐσιωδῶς, ἡ ξύμπασα, ἵν' αὖθις εἴποιμι, τῆς οὐσίας καὶ τῆς ταυτότητος καὶ τῆς κινήσεως καὶ τῆς στάσεως συνοχή τε καὶ σύλληψις, τοῦτο ἂν εἴη, φιλοσοφώτατε, ὁ αἰών· τὸ ξύμπαν ξυνειληφώς, ἀπὸ τοῦ ἀεὶ εἶναι τοὔνομα ἐσχηκώς, ᾧ μηδὲν ἐλλείπει, οὗ μηδὲν ἄπεστιν, ὃν οὐδὲν τῶν ὄντων ἐκπέφευγεν, ὃς ἐφ' ἑαυτοῦ τὲ ἥδρασται καὶ τῶν ἄλλων ἐστὶν ἔλλαμψις. τῷ γὰρ αἰῶνι οὐδὲν μὲν παρελήλυθεν οὐδὲ μέλλει τί, οὐδὲ γὰρ τὸ ἑστὼς αὐτοῦ τοιοῦτον οἷον ἀπολελειμμένον τῶν ἄκρων, τοῦ μὲν οὖν ἐκπεφευγότος, τοῦ δὲ ἐσομένου καὶ μέλλοντος· ἔστι γὰρ καὶ τὸ μέσον καὶ τὸ περὶ τὸ μέσον.

Τοιοῦτος μὲν ὁ αἰών· ὁ δέ γε χρόνος γέννημα μὲν ἐκείνου, ἀπολελειμμένον δὲ τῆς πατρικῆς στάσεως. γεγέννηται γάρ, ἵνα καὶ ἐκδράμῃ· καὶ βούλεται μὲν μιμήσασθαι τὸ ἑστὼς τοῦ γεννήτορος, ἀποτυγχάνει δὲ τοῦ ἀκριβοῦς, εἰ μὴ ὅσον ἐν τῷ συνεχεῖ τῆς κινήσεως τὴν ἐκεῖσε στάσιν ἐξεικονίζει· τὸ δ' ὅσον αὐτῷ διεστηκός, τὸ μέν τι παρῳχηκὸς γέγονε, τὸ δὲ μέλλον, τὸ δὲ τὸ εἶναι ψευδόμενον. ἀπεκληρώθη δὲ κατὰ λόγον τοῖς μὲν ἑστηκόσι καὶ ὡσαύτως ἔχουσιν ὁ αἰών, τοῖς δὲ κινουμένοις καὶ μεταβαλλομένοις ὁ χρόνος· ἐκεῖνος μὲν ἑδράζων τὴν φύσιν αὐτοῖς, οὗτος δὲ μὴ κωλύων ἡμῖν τὴν κίνησιν, ἀλλὰ συμπροϊὼν καὶ συμπορευόμενος, κατὰ δέ γε συμβεβηκὸς καὶ τὰ τῶν κινήσεων ἡμῖν μέτρα ἀπαριθμούμενος. οὐ γὰρ φύσις αὐτῷ τὸ τὴν κίνησιν ἀριθμεῖν, ἀλλ' οὗτος μὲν ἐν τῷ προϊέναι οὐσίωται, τὸ δέ γε μέτρον ἐπεισοδιῶδες καὶ ἔξωθεν. καὶ ὅσα μὲν τῷ αἰῶνι ἐφέστηκεν, αἰώνια παρὰ τοῖς φιλοσόφοις προσαγορεύεται καὶ αἰῶνος ὕστερα τῷ λόγῳ τίθεται· εἴ τι δὲ τοῦ αἰῶνος ἐπέκεινα, τοῦτο ὑπεραιώνιον προσαγορεύεται. ἔστι τοιγαροῦν ὁ αἰὼν ὑπεραιωνίου μέσον καὶ αἰωνίου, ὥσπερ κἀνταῦθα ὁ χρόνος τοῦ τε ὑπερχρόνου καὶ τοῦ ἐγχρόνου. ὥσπερ

Π. 19 οἶδεν C — 21 ἀγένητα C / τὸ πρώτως καλὸν om P / πρώτως: πρότερον C — 28 τε: τέ ἐστι C — 34 τῆς^{2} om C — 36 φιλοσοφώτατον C / ξυνειληφὸς M συνειληφὼς C — 37 ἐσχηκὸς PM / οὗ: ὧ C — 38 ἀφ' C — 40 γὰρ om C — 42 τὸ^{2} om P — 43-44 ἀπολελυμένος C — 44 γεγένηται C / γάρ: τε γὰρ P / καὶ om C — 47 αὐτὸ P / μέντοι P — 49 ἑστηκόσι: ἑκόσι C / ὁ om C — 52 συμπροϊὸν C — 59 ὑπερχρονίου C / ἐγχρονίου C

γὰρ αἰώνια φαμὲν τὰ τοῦ αἰῶνος μετέχοντα, οὕτω δὴ καὶ ἔγχρονα τὰ χρόνου μετεσχηκότα. τῶν δὲ μετεσχηκότων χρόνου ἡ μὲν τοῦ παντὸς περιφορὰ τῆς ὅλης αὐτοῦ μετέσχηκε φύσεως, τὰ δὲ περὶ ἐκεῖνον σώματα μέρους μείζονος καὶ ἐλάττονος· ἡμεῖς δὲ ἐν βραχεῖ μέρει τῆς τοῦ χρόνου μετεσχήκαμεν φύσεως. ἡ δέ γε ψυχή, ὅπερ ἠρώτηκας, μεταξὺ αἰῶνος καὶ χρόνου τετάχαται. ἐπειδὴ γὰρ αὐτῆς ἡ μὲν οὐσία ἕστηκεν ἀναλλοίωτος, αἱ δέ γε ἐνέργειαι μεταβληταὶ καὶ κινούμεναι, διὰ ταῦτα ἑκατέρωθεν αἰῶνα καὶ χρόνον συνερανίζεται. αἰωνίζει μὲν γὰρ αὐτῆς ἡ οὐσία, χρονίζει δὲ ἡ ἐνέργεια· συστείλασα δὲ τὰς κινήσεις καὶ ἀναδραμοῦσα πρὸς νοῦν καὶ στᾶσα μετ' αὐτοῦ ἢ ὑπ' αὐτὸν ἀμετάβλητος καὶ ἀκίνητος, τὸν μὲν χρόνον ἀφῆκε κάτω, ὅλη δὲ προσκεχώρηκε τῷ αἰῶνι καὶ τῆς κρείττονος μερίδος γεγένηται.

Ἔχεις οὖν ἐντεῦθεν κάλλιστον πόρισμα τῆς τοῦ παντὸς μεταποιήσεως καὶ πρὸς τὸ κάλλιστον ἀποκαταστάσεως. εἰ γὰρ ἡ χρονωθεῖσα ψυχὴ αἰώνιος γίνεται μετὰ τοῦ νοῦ γενομένη, πῶς οὐχὶ καὶ ὁ χρόνος ξύμπας εἰς τὸν αἰῶνα ἀναλυθήσεται, ἀφ' οὗ καὶ τὴν πρόοδον ἔσχηκεν; ὥσπερ γὰρ ἦν τότε ὑπὸ τὸν αἰῶνα, ἀτρεμὴς καὶ ἀκίνητος· φύσις δέ τις πολυπράγμων τοῦτον ἐκίνησεν, ἢ μᾶλλον εἰπεῖν ἀσθενοῦσα ψυχὴ τὴν νοερὰν ἔχειν ἀμέρειαν, ἀνελιττομένη δὲ πρὸς τὴν θήραν τοῦ ὄντος τοῦτον ὑπέστησεν· οὕτω δὴ καὶ αὖθις ὑπὸ τὸν πατέρα ἔσται τὸ ἐκδραμὸν γέννημα. μήποτε γὰρ καὶ ὁ ἄσωτος οὗτος ἐστὶ παῖς, τοῦ μὲν αἰῶνος ὡς πρεσβυτέρου παρὰ τῷ πατρὶ μείναντος, τούτου δὲ ὡς νεωτέρου ὑπεκδραμόντος καὶ τὴν οὐσίαν ἐν τῇ κινήσει καταναλώσαντος, εἶτ' αὖθις ἐπαναδραμόντος καὶ τοὺς μὲν πόδας ὑποδήμασί τισι περισφιγχθέντος, ἵνα μὴ καὶ αὖθις ὑπορρεύσῃ κινούμενος, δεξαμένου τε τὸν δακτύλιον τῆς ἀκινησίας τὴν σφραγῖδα, καὶ τὸν σιτευτὸν μόσχον ἐδηδοκότος τὴν τῆς αἰωνίου μετάληψιν φύσεως. ἐπάγεται γάρ με εἰς τοῦτο καὶ ἡ παναρμόνιος συμφωνία χρόνου πρὸς αἰῶνα κραθέντος καὶ τῶν ἐναντίων ἀλλήλοις συνομολογησάντων. γενήσεται γοῦν ταῦτα, βελτίστη ψυχή, καὶ ἔσται καινὸς μὲν οὐρανός, καινὴ δὲ γῆ, καινὴ δὲ ζωὴ καὶ κατάστασις, τοῦ ἀκρογωνιαίου λίθου τὰ διεστῶτα συνδέοντος καὶ χρόνον αἰῶνι συγκαταλλάσσοντος καὶ τὰ ἐναντία συγκεραννύντος καὶ ἁρμονίαν ἐμμελεστάτην κατασκευάζοντος. δεῖ γὰρ ἑνὸς ὄντος τοῦ πρώτου αἰτίου ἓν τὰ πάντα γενήσεσθαι καὶ εἰς τὴν ἀρχαίαν ταυτότητα τὰς ἐκδρομὰς καὶ τὰς κινήσεις σταθήσεσθαι.

III.

Τοῦ αὐτοῦ εἰς ῥητὸν ἀποστολικόν.

Ἐπεζήτησας ἐν τῷ γράμματι, τίνος ἕνεκα μὴ ἀθάνατον δύναμιν τῷ θεῷ ἀλλ' ἀΐδιον ὁ ἀπόστολος προσηρμήνευσε, καὶ εἰ θάτερον θατέρου διήλλακται, καὶ διαλλαττόντοιν ὁποῖον τὸ κρεῖττον καὶ ὑψηλότερον.

64-71: Procl., instit. theol. 191. — 80-86 : Lc. 15[11-32]. — 90 : Eph. 2[20].
2-3 : Rom. 1[20].

II. 60 γὰρ om C / καὶ: καὶ τὰ C — 73 εἰ: ἡ C — 74 γίγνεται P — 76 αἰῶνα: ἦν add PM — 77 τοῦτο C / εἰπεῖν om C — 81 μείναντος παρὰ τῷ πατρὶ C — 85 τὸν[1] scripsi : τὸ PMC — 86 εἰς: πρὸς C — 89 ψυχῇ P / ὁ οὐρανὸς C / ἡ γῆ C

φημὶ γοῦν ὅτι καὶ διαλλάττει πρὸς ἄλληλα τὰ ὀνόματα καὶ τὸ μᾶλλον κατ' οὐσίαν ὑπερανέχον, φημὶ δὴ τὸ ἀίδιον, τῷ κρείττονι προσμαρτυρεῖ ὁ ἀπόστολος.

Τὸ μὲν γὰρ ἀθάνατον τῆς ἀειζώου δηλωτικὸν καθέστηκε φύσεως· εἰ γὰρ ὁ θάνατος ζωῆς ἐστὶ στέρησις, τὸ ἀθάνατον συντήρησις ἐστὶ τῆς τοιᾶσδε δυνάμεως· τὸ δέ γε ἀίδιον τῆς τοῦ ἀεὶ εἶναι γνωριστικόν ἐστιν ὑποστάσεως. τὸ δὲ εἶναι τοῦ ζῆν, ἤτοι τὸ ὂν τῆς ζωῆς, τιμιώτερόν τε καὶ ὑψηλότερον. τὸ μὲν γὰρ ἀθάνατον ἐξ ἀνάγκης ἐστὶ καὶ ἀίδιον, τὸ δὲ ἀίδιον οὐ πάντως ἐστὶ καὶ ἀθάνατον· ὥστε τὸ μὲν ἀιδίως εἶναι ἕπεται τῷ ἀθανάτως ὑφίστασθαι, τὸ δὲ ἀειζώως εἶναι οὐκ ἀντακολουθεῖ τῇ ἀιδίῳ ὑπάρξει. ἐπεὶ τοιγαροῦν ὑπεραναβέβηκε τὸ ὂν τὴν ζωήν, δηλωτικὸν δὲ τῆς μὲν ζωῆς τὸ ἀθάνατον, τοῦ ὄντος δὲ τὸ ἀίδιον, τὸ κρεῖττον τῶν ὀνομάτων τῇ ὑπερτελεῖ φύσει προσεμαρτύρησε.

Καὶ ἵνα σοι περὶ τούτου διέλωμαι ἐντελέστερον, ὂν καὶ ζωὴ καὶ νοῦς, τὰ τρία ταῦτα πρὸς ἄλληλα διενήνοχε· καὶ ἔστι τὸ μὲν ὂν ἀμφοῖν περιεκτικώτερον, ὁ δὲ νοῦς πρὸς ἄμφω ὑπέσταλται, ἡ δὲ ζωὴ ἀμφοῖν οὖσα μέση καὶ οἷον κέντρον τῶν ἀφεστηκότων, ὑποβέβηκε μὲν τὸ ὄν, τὸν δὲ νοῦν ὑπερβέβηκεν. ὁ μὲν γὰρ νοῦς καὶ ζωὴ καὶ ὄν ἐστι· τὸ δὲ ζῶν ὑφέστηκε μέν, οὐχ' ἅπαν δὲ ἐξ ἀνάγκης καὶ νοῦ καθέστηκε μέτοχον· ὁ δέ γε νοῦς ὑπερεκπίπτει ἀμφότερα. διὰ ταῦτα τοῦ μὲν ὄντος πάντα μετέχει ὅσα τὲ νοῦ καὶ ὅσα ζωῆς μέτοχα· τὴν δέ γε ζωὴν τὰ πλείω διέλαθεν, ὡς δὲ καὶ τὰ νοοῦντα ἐλάττω τῶν ὄντων ἐστί. διὰ ταῦτα μὲν τὴν περιεκτικωτέραν δύναμιν, φημὶ δὴ τὴν ἀίδιον, προσυφιστάνει ὁ ἀπόστολος τῷ θεῷ.

Εἰ δέ τις κυριολογεῖν βούλοιτο, οὐδὲ ὄν ἐστιν ὁ θεός. εἰ γὰρ αὐτὸς ἑαυτῷ τὸ ὄνομα τοῦτο προσμαρτυρεῖ χρηματίζων τῷ Μωυσεῖ, ἀλλὰ συγκαταβατικώτερον πρὸς τὴν ἐκείνου παραδοχὴν τὴν μαρτυρίαν πεποίηται. τὸ γὰρ ὂν ἑνώσεως ἐστὶν ὄνομα· ἡ δὲ ἕνωσις ἡνωμένων ἐστὶν ἕνωσις· ὁ δέ γε θεὸς τὸ πάντων ἁπλούστατον. ὥστε μᾶλλον ἂν τὸ ἓν ἢ τὸ ὂν προσμαρτυρήσει τὶς τῷ θεῷ· τοῦτο γὰρ καὶ νοῦ τιμιώτερον. ὁ γὰρ νοῦς πολλά, καὶ ὁπόσα τὰ ὄντα· πρὸ δὲ τῶν πολλῶν τὸ ἕν· ὥστε καὶ πρὸ τοῦ νοῦ ὁ θεός. εἴ τι δὲ τῶν ἄλλων ἓν λέγεται, οὐ κυρίως ὠνόμασται, ἀλλὰ τὴν μὲν οὐσίαν ἑτεροῖον ἐστί, διὰ δὲ τὴν ἕνωσιν τετύχηκε τοῦ ὀνόματος. μόνος οὖν ὁ θεὸς ἕν.

Ὁ μὲν οὖν Ἀριστοτέλης μέχρι τοῦ νοῦ τὴν πολυπραγμοσύνην τῆς διανοίας προαγαγὼν τὴν ζήτησιν ἔστησεν. ὁ δέ γε Πλάτων προσωτέρω προὐχώρησε καὶ ὑπὲρ τὸν νοῦν ἐφεῦρε τὸ ἕν. ὁ δ' αὐτὸς ἀνὴρ οὐδὲ μέχρι τούτου τὸ θεῖον ὁρίζει οὐδὲ τοῖς πᾶσιν ἐφίστησιν, ἀλλ' ὑπὲρ τὸ πᾶν τίθησι ὡς ἀσύντακτον καὶ ἀόριστον καὶ ἀζήτητον. ἕτεροι δὲ αὖθις τῶν φιλοσοφησάντων ἐξῃρημένην τοῦτο μονάδα τιθέασι· καὶ ἄλλοι βυθὸν ὀνομάζουσιν. οἱ δέ γε τουτὶ τὸ ὄνομα, φημὶ δὴ τὸν βυθόν, κάτω

8-15: Procl., instit. theol. 105. — 29-30: Ex. 3[14]. — 39-40: Ar., metaph. Λ 9. — 45-47: orac. Chald. ap. Psell., PGr. 122, 1149 C 5-9.

III. PM 6 δή: δεῖ P — 10 γνωριστικόν scripsi: γνωστικόν PM — 12, 13 ἀείδιον M — 13 ἀειδίως M — 14 ἀειζώοις P — 21 leg ἀμφεστηκότων? — 22 ζωῆ: ζῆ P — 26 leg διέλαβεν? / δὲ κατανοοῦντα P — 30 μωυσῆ M — 34 leg προσμαρτυρήσειε? — 43 ὡς scripsi: καὶ PM / ἀναζήτητον P

που τοῦ ἀνονομάστου τεθείκασιν, ἐν δέ γε τῷ βυθῷ τριαδικόν τινα ἀριθμὸν ἀναπλάττουσι, πατέρα καὶ δύναμιν καὶ νοῦν. ἕκαστος γὰρ ταῖς φυσικαῖς ἐννοίαις περιπλανώμενος ὃ πέπονθε κατωνόμασεν. ἀλλ' ἡμῖν ὅροι καὶ κανόνες ἑστᾶσιν ἐκ τῆς εὐαγγελικῆς φιλοσοφίας, τὸ θεὸς ὄνομα, καὶ αὖθις αἱ ἰδιότητες, αἱ ὑποστάσεις, οἱ χαρακτῆρες, ἡ οὐσία, ἡ φύσις, ἡ μορφή· καὶ ἄνιμεν ἄχρι τούτων, καὶ αὖθις ἐντεῦθεν πρὸς τὴν θεολογίαν καὶ τὴν τῶν δογμάτων ὁρμῶμεν ὀρθότητα. τοῖς μὲν οὖν Ἕλλησιν ἡ αὐτονομία τὰς καινότητας τῶν ὀνομάτων ὑπέστησεν, ἡμῖν δὲ ὁ θεῖος νόμος ἀφώρισεν ὁπόσοις τῶν ὀνομάτων καὶ οἷς τὸ θεῖον σεμνύνειν χρεὼν καὶ τιμᾶν.

IV.

Τοῦ αὐτοῦ. λύσις τῆς κοινῆς ἀπορίας ἁπάντων τῶν ἔξω τοῦ ἡμετέρου δόγματος τῶν Χριστιανῶν, ἣν οὕτως προσφέρουσι λέγοντες· τίς ἦν ἡ ἀναγκαία χρεία ἡ κατεπείγουσα τὴν πανταιτίαν οὐρανόθεν κατελθεῖν καὶ τῷ ἀνθρωπείῳ γένει συγκαταβῆναι καὶ τεχθῆναι καὶ πάντα τὰ ἀνθρώπινα πάθη ὑποστῆναι καὶ σταυρωθῆναι καὶ ταφῆναι καὶ ἀναστῆναι; τί γὰρ οὐκ ἠδύνατο νεύματι μόνῳ σῶσαι τὸν ἅπαντα κόσμον καὶ μὴ κενοῦσθαι τῆς ἰδίας δόξης μηδὲ τὸ ἐλάχιστον; τοῦτο γὰρ ἦν καὶ τοῦ ὕψους τῆς θεότητος ἄξιον καὶ ἡμῖν τοῖς ἀνθρώποις λυσιτελέστερον.

Ταύτην τὴν ἀπορίαν οὐκ Ἀγαρηνοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες πάντες προβάλλονται, ἀναιρετικὴν οἰόμενοι ταύτην παντὸς τοῦ ἡμετέρου δόγματος· ἀρχὴ γὰρ καὶ οἱονεί τις κρηπὶς τοῦτο ἀσφαλεστάτη τῆς ἐνσάρκου ἐστὶν οἰκονομίας. λέγομεν τοίνυν πρὸς τούτους ἅπαντας, ὡς ὁμολογουμένως ὁ θεὸς ὑπεράγαθός ἐστι καὶ φιλανθρωπότατος καὶ μεγαλοδωρότατος καὶ δικαιότατος. καὶ σκοπητέον τίνι κρίνομεν τὸν πάντων ἀνθρώπων εὐμεταδοτώτερον. ὁ μὲν γὰρ ἡμῶν δωρεῖται χρήματα, ὁ δὲ λόγους διδασκαλικοὺς καὶ νουθετικούς, ὁ δὲ σκέπην καὶ ὑπερασπισμόν· τούτων δὲ ἁπάντων κρείττων ἐστὶν ὁ δωρούμενος ἑαυτόν. ἐπεὶ οὖν τὸ θεῖον πάντη τέλειόν ἐστιν, ἄκρατον ἔχει παρ' ἑαυτῷ τὸ ἀγαθόν. διὸ οὐκ ἀπηξίωσε συγκαταβῆναι τῇ ἡμετέρᾳ χαμερπεῖ φύσει καὶ χαρίσασθαι ἑαυτὸν δι' ἄκραν εὐσπλαγχνίαν τε καὶ ἀγαθότητα.

Οὐ μὴν ἀλλὰ καὶ ὡς δικαιότατος τοῦτο πεποίηκε καὶ τὰς ὑπερηφανίας βδελυσσόμενος καὶ τὰς βίας ἀποτρεπόμενος. εἰ γὰρ τὰ τῶν δαιμόνων θράση χωρὶς τῆς ἐνσάρκου οἰκονομίας κατέβαλεν, ἐνεχώρει τούτοις λέγειν ὡς ἄνθρωπον μὲν ἡττήσαμεν, παρὰ δὲ θεοῦ ἡττήθημεν· καὶ τοῦτο οὐκ ἦν ἄκρας δικαιοσύνης. ἐπεὶ δὲ τὰ μὲν τῶν σωμάτων ἰῶνται διὰ τῶν ὁμοίων, τὰ δὲ διὰ τῶν ἐναντίων, τῷ διττῷ τῆς θεραπείας τρόπῳ πρὸς τὴν ἡμετέραν δεινὴν καὶ θανατηφόρον νόσον ὁ σοφὸς ἐχρήσατο δημιουργός, διὰ μὲν τοῦ ἀνθρώπου σώσας τὸν ἄνθρωπον, διὰ δὲ τῆς σταυρώσεως τὴν ἐκ τοῦ ξύλου παράβασιν ἰασάμενος, καὶ

III. 46 ἀνωμάστου P — 50 ἀιδιότητες (om αἱ) M

διὰ θανάτου θανατώσας τὸν θάνατον· διὰ δὲ τοῦ ἁγιασμοῦ καταργήσας τὴν ἁμαρτίαν καὶ διὰ τῆς εὐλογίας τὴν κατάραν, καὶ διὰ τὴν πηγὴν τῆς ζωῆς τὴν ζωὴν δωρησάμενος.

Εἶτα τί πέπονθε τῆς θεότητος ἡ θεότης ἀνάξιον ἐνανθρωπήσασα; οὐ πάντα πλήρη ταύτης, οὐρανός τε καὶ τὰ ὑπὲρ τοῦτον καὶ γῆ καὶ τὰ ὑπ' αὐτήν; ὅπερ καὶ οἱ Ἕλληνες αἰνιττόμενοι ἐραψῴδουν 'Ζεῦ κύδιστε μέγιστε θεῶν, ἐπειλυμένε κόπρῳ, ὅση τὲ μηλείη καὶ ἱππείη καὶ ἡμιονείη'. ἐδήλουν γὰρ διὰ τούτων τὸ μὴ στερεῖσθαι μηδὲ τὰ παρ' ἡμῖν ἀτιμότερα τῆς θείας ἐλλάμψεως. καὶ εἰ πάντα πλήρη τῆς θεότητος καὶ οὐδέν ἐστι ταύτης κενόν, τί καινὸν εἰ ἐνηνθρώπησε καὶ ἐπὶ γῆς ἐβάδισε καὶ τοῖς ἀνθρώποις συνανεστράφη; καὶ γὰρ καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν ἐνανθρώπησιν πλήρη αὐτοῦ τὰ πάντα ἦν.

Ἀλλὰ καὶ τὸ σταυρωθῆναι καὶ τὸ ταφῆναι καὶ τὸ θανεῖν οὐδ' ὅλως ἅπτεται τῆς θεότητος, ὥσπερ οὐδὲ τοῦ ἐπιλάμποντος ἡλίου δένδρῳ τινὶ ἡ ἀξίνη παρ' αὐτῆς τεμνομένῳ. ἐκεῖνο γὰρ ὑπείκει τῷ πάθει, τὸ τοῦ πάθους δεκτικόν· τὸ δὲ τούτου ὑπέρτερον οὐ πάσχει παρά τινος. τὸ δὲ ῥαπίζεσθαι καὶ κολαφίζεσθαι καὶ δικαστηρίοις παραστῆναι καὶ ἐπὶ ξύλου ἀρθῆναι παρ' ἡμῖν μέν ἐστι καὶ φαίνεται δεινὰ εἰθισμένοις οὕτω κατὰ συνθήκην ταῦτα νοεῖν· ὥσπερ τοῖς νῦν ἀνθρώποις ἄκρα ἀτιμία ἐστὶν ἡ τῶν τριχῶν τοῦ πώγωνος ἀφή, τοῖς πάλαι οὖσα δυσώπησις. παρὰ δὲ θεῷ οὐδὲν τούτων αἴσχιστον, εἰ μὴ μόνον τὸ ἁμαρτάνειν.

Τί δ' ἂν εἴποις σὺ ὁ ἐκ τῆς Ἄγαρ, ὁ τὴν παλαιὰν διαθήκην καὶ τὰ τοῦ Μωσέως δεχόμενος; τί ξενίζῃ καὶ ἄτοπον λογίζῃ τὴν τοῦ θεοῦ ἐνανθρώπησιν ὁ πιστεύων τὸ θεῖον ὀφθῆναι τῷ Μωυσεῖ ἐν τῇ βάτῳ τῇ χείρονι τῶν φυτῶν; εἰ γὰρ ἐν τῇ βάτῳ οὐκ ἀπηξίωσεν ὀφθῆναι, πόσῳ γε μᾶλλον παρὰ τῷ κρείττονι καὶ θειοτέρῳ τῶν κτισμάτων, τῷ ἀνθρώπῳ, δι' ὃν οὐρανός τε καὶ γῆ καὶ πᾶσα τελετὴ καὶ μυστήριον. τὸ δὲ λέγειν σε καταβῆναι τὸ θεῖον καὶ ἐξ οὐρανοῦ κατελθεῖν οὐ κυρίως ἐστὶ κατέλευσις καὶ κατάβασις, ἀλλ' ὅσον πρὸς τὴν ἡμετέραν διάνοιαν, ἀπορούσης τῆς γλώσσης διὰ τοῦ προφορικοῦ λόγου τὰ νοητὰ ἑρμηνεῦσαι. κυρίως γὰρ λέγεται κατελθεῖν τὰ σώματα, ὅταν τοῦ ἄνωθεν τόπου χωρισθέντα χωρήσει ἐπὶ τὸν κάτωθεν. ἔνθα δὲ πλήρη τὰ πάντα τῆς θεότητος, οὐ χρεία τοιαύτης κατελεύσεως· καὶ γὰρ ὢν ὁ υἱὸς καὶ λόγος παρ' ἡμῖν ἀχώριστος ἦν τῶν νοητῶν κόλπων τοῦ πατρός.

Καὶ δὴ ἕτερόν τι πόρισμα ἡμῖν ἀξιοθαυμαστότατον ἐπεγένετο διὰ τῆς τοῦ θεοῦ ἐνανθρωπήσεως τῆς τούτου δικαιοσύνης ἐπάξιον. εἰ γάρ, μὴ κατελθών, πάντας ἔσωσε καὶ ἄκοντας, οὐκ ἂν ἦν τούτοις χάρις οὐδεμία· νῦν δὲ τὴν ἀρχὴν τῆς ὀρθοδόξου πίστεως καὶ τῶν ἀρετῶν ἐξ ἡμῶν λαμβάνων σῴζει τρόπον μέν τινα ἀξίως διὰ τὴν προθυμίαν, τρόπον δέ τινα κατὰ χάριν διὰ τὴν τῆς ἡμετέρας φύσεως ἀτέλειαν, ἵν' ᾖ, καθά φησιν ἡ θεολόγος γλῶσσα, τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ' ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα. δέδεικται οὖν διὰ τῶν εἰρη-

---

37-39: Orpheus ap. Greg. Naz., Or. 4^{115}, PGr. 35, 653 B. — 51: cf. Hom. A 501. — 55-56: Ex. 3^{2}. — 72-73: Greg. Naz., Or. 38^{12}, PGr. 36, 324 B.

IV. PM 41 καινὸν: κενὸν M — 44 τὸ^1: τῶ M — 45 τοῦ scripsi: τῶ PM — 46 αὐτῆς scripsi: αὐτοῖς PM / ἐκεῖνο scripsi: ἐκείνω PM — 62 ὅταν scripsi: ὅθεν PM — 63 τὸν: τῶν M / τῆς om M — 72 ὁ θεολόγος φωνή, sscr γλῶσσα P

μένων, ὡς εἰ μὴ τὸ θεῖον ἐνηνθρώπησεν, οὔτε τέλειον εἶχε τὸ εὐμετάδοτον καὶ τὸ ὑπεράγαθον, διὰ τὸ μὴ ἀποχαρίσασθαι ἑαυτό, οὔτε <τὸ> δίκαιον, διὰ τὸ δυνάμει χειρὸς τὸν ἀντίπαλον κατασβέσαι, οὔτε <τὸ> ἀκεσώδυνον, διὰ τὸ μὴ χρῆσθαι πρὸς τὴν ἡμετέραν νόσον τοῖς διττοῖς τῆς θεραπείας τρόποις. ὥστε τὸ ἐνανθρωπῆσαι τὸ θεῖον ἄξιον ἦν τῆς ἑαυτοῦ εὐσπλαγχνίας καὶ δικαιοσύνης καὶ προμηθείας. καὶ ταῦτα μέν, ἃ προχειρότατα τῇ ἡμετέρᾳ διανοήσει περὶ τῆς τοιαύτης ὑπέδραμεν ἀπορίας· ἐν ἄλλοις δὲ εἰρήσεται ἡμῖν τὰ περὶ τούτου καὶ τῶν τοιούτων ἀποριῶν διεξοδικώτερον.

INDEX.

Alexander Aphrodisiensis, de anima pp. 15-16: § 33.
Anaxagoras (cited): §§ 45, 46.
Antiochus, Catal. cod. astrol. I pp. 162-3: § 161.
Aristarchus (cited), de magn. et dist. 7, 9, 10, 15, 16: § 127.
Aristoteles (cited §§ 33, 34, 44, 45, 46, 65, 69, 84, 87, 103, 120, 121, 124, 126, 130, 131, 132, 140, 144, 147, 153, 156, 157, 162, 167, 170, App. III 39; ἐν προβλήμασιν § 190):
de anima II 4: § 33. — III 4: § 34.
de caelo I 2: §§ 121, 131. — I 9: § 120. — I 10-12: § 157. — II 2: § 162. — II 12: § 132.
eth. Eudem. II 1: § 81.
eth. Nicom. II 1: §§ 75, 76. — II 2: § 76. — II 4: § 77. — II 6: § 78. — II 7: §§ 79, 80.
metaph. A 9: § 84. — Λ 8: § 120. — Λ 9: App. III 39-40.
meteor. I 4: § 130. — I 12: § 141. — I 13: § 175. — II 6: § 146. — II 8: § 164. — III 1: §§ 149, 150.
phys. II 3: § 87. — II 5: § 106. — III 1: § 103. — IV 8: § 153.
de virt. et vit. 1: § 69.
fragm. 11: § 19. — 17: § 157. — 218: § 170.
Cleanthes (cited), SVF I p. 117, frg. 518: § 33.
Cleomedes (cited), circ. doctr. I 1: §§ 120, 153.
Dionysius Areopagita (cited), de divin. nomin. 4⁴: § 101.
Dionysius Halicarnassensis, antiqu. Rom. I 2-3: § 178.
Doxographi, p. 284 Diels: § 83.
Erasistratus (cited): § 113.
Galenus (cited § 115):
ad Gaurum 7¹,³, 10¹, 10³: § 115. — 11²⁻⁴: § 60.
εἰ ζῷον τὸ κατὰ γαστρός, XIX p. 166 K.: § 115.
Gregorius Nazianzenus (cited §§ 15, 16, 59, App. IV 72; ἐν τοῖς τοῦ Χριστοῦ γενεθλίοις § 98):
orat. 4¹¹⁵: App. IV 37-39. — 38⁸: § 16. — 38⁹: § 98. — 38¹²: App. IV 72-73. — 39¹¹: § 15. — 45⁴: § 16.
Gregorius Nyssenus (cited § 59):
in cant. 2¹³, PGr. 44, 872-3: § 193.
quid sit ad imag. Dei, PGr. 44, 1332 D: § 59.
Heliodorus, Aethiop. II 28: §§ 176, 177. — V 17: § 171.
Hippocrates (cited §§ 115, 117, 146, 182):
de offic. med. 20: § 182.
de artic. 52: § 182.
de nat. inf. 21: § 115.
Homerus (cited §§ 147, 180), A 501: App. IV 51. — I 214: § 180.
Iamblichus (cited): § 50.
Ioannes Damascenus, de fide orthod. 8: §§ 1, 10, 11. — 48: § 12. — 50: § 13. — 55, 58, 59: § 14.
Marinus, vita Procli c. 3: § 67.
Maximus Confessor (cited § 59):
variae defin., PGr. 91, 149 B: § 2. — 149 D: § 7. — 152 A: §§ 2, 6, 198. — 152 B: § 8. — 152 C: § 9.
epist., PGr. 91, 488-9: § 59.
ambig. lib., PGr. 91, 1321-5: § 59.
Nestorius (cited): §§ 4, 9.
Olympiodorus:
in meteora I 3: § 130. — I 4: §§ 124, 139. — I 5: § 125. — I 7: § 139. — I 8: § 123. — I 9: § 140. — I 10: § 141. — I 13: § 167. — I 14: §§ 163, 165. — II 3: §§ 148, 166, 174. — II 4-6: § 146. — III 1: §§ 147, 148, 149, 150. — III 2: §§ 142, 143, 144, 145. — III 6: §§ 144, 145.
in Phaedonem p. 2: § 95. — pp. 45, 46: § 67. — pp. 113-4: § 67. — p. 116: § 68. — p. 190: § 20. — p. 230: § 85.

Oracula Chaldaica: see Psellus.
Orpheus, ap. Greg. Naz., or. 4^{115}: App. IV 37-39.
Peripatetics (cited): § 33.
Plato (cited §§ 15, 33, 34, 45, 51, 65, 69, 72, 83, 84, 87, 88, 89, 96, 108, 121, 126, 130, 131, 156, 196, 197, App. II 13, III 40; ἐν τῷ δευτέρῳ τῶν Νόμων § 36; ἐν τῷ διαλόγῳ τῷ Φαίδωνι § 189; ἐν τῷ Φαίδρῳ § 120; ἐν τῷ διαλόγῳ τῷ καλουμένῳ Φιλήβῳ § 100; ἐν τοῖς τοῦ Ἐλεάτου ξένου λόγοις § 100; ἐν τοῖς πρὸς τὸν γεωμέτρην λόγοις § 97; ἐν Τιμαίῳ §§ 36, 54, 97, 100, 157, 158, 187; ἐν τῇ τοῦ Τιμαίου βίβλῳ § 54; Πλατωνικὴ ψυχογονία § 52):
epin. 981 D-E: § 131.
legg. II 653 A: § 36.
Phaedo 80 E, 81 B: § 99. — 85 C: § 189.
Phaedr. 247 C-E: § 120.
Phileb. 16 C, 23 C: § 100.
Polit. 273 B: § 100.
Resp. X 614 E: § 197.
Theaet. 176 A: § 97. — 176 B: § 68.
Tim. 28 B: § 158. — 29 C: § 187. — 30 A: § 97. — 30 C: § 96. — 32 B-C: § 121. — 33 B: §§ 88, 133. — 40 A: §§ 121, 131. — 41 A-B: § 157. — 46 C-D, 49 A, 50 D, 52 D: § 100. — 55 C-56 C: § 88. — 61 C, 64 A-68 D: § 36. — 67 C-68 D: § 89. — 88 D: § 100.
Plotinus (cited § 33), ennead. I 1^{1}: § 35. — I 1^{3}: §§ 33, 34, 35. — I 1^{4}: § 35. — I 1^{5}: § 36. — I 1^{8}: § 32. — I 1^{10}· § 31. — I $2^{1,3}$: § 71. — II 2^{1}: § 133. — V 1^{1}: § 47. — VI 9^{10}: § 95.
Plutarchus:
placita I 1: § 57. — I 2: § 82. — I 3: § 83. — I 4: § 151. — I 5: § 152. — I 6: § 19. — I 7: § 15. — I 8: § 85. — I 9: § 86. — I 10: § 84. — I 11: § 87. — I 12: § 92. — I 13: § 93. — I 14: § 88. — I 15: § 89. — I 17: § 90. — I 18: § 153. — I 19: § 154. — I 20: § 155. — I 21: § 102. — I 23: § 103. — I 24: § 91. — I 25: § 104. — I 27: § 105. — I 29: § 106. — II 3: § 156. — II 4: § 157. — II 5: § 158. — II 6: § 18. — II 7: § 159. — II 8: § 160. — II 9: § 120. — II 10: § 162. — II 11: §§ 121, 131. — II 12: § 122. — II 13: § 131. — II 14: § 133. — II 15: § 134. — II 16: § 132. — II 17: § 135. — II 18: § 138. — II 19: § 136. — II 20: § 126. — II 21: § 127. — II 24: § 128. — II 29· § 129. — II 32: § 137. — III 1: § 123. — III 2: § 139. — III 3: §§ 147, 149, 150. — III 4: § 140. — III 5: § 142. — III 6: § 144. — III 7: § 146. — III 15: § 164. — III 16: § 166. — III 18: § 143. — IV 1: § 176. — IV 13; 16-19: § 108. — V 2: § 116. — V 5, 6: § 110. — V 7: § 111. — V 9: § 112. — V 10: § 113. — V 11, 12: § 114. — V 15; 16: § 115. — V 21, 30: § 117.
aetia phys. I: § 168. — II: § 172. — III: § 180. — IV: § 173. — V: § 179. — XII: § 169. — XIV: § 183. — XV-XVI: § 186. — XVIII: § 185. — XIX: § 181. — XX: § 189. — XXII: § 182. — XXVIII: § 184. — XXXI: § 187.
quaest. conviv. V 7: § 109. — V 9: § 188. — V 10: §§ 170, 180. — VI 1: § 118. — VI 3: § 119. — VI 5: § 190. — VI 6: § 191. — VI 8: § 192. — VI 10: § 193.
Porphyrius (cited § 115):
sententiae 1, 2, 3, 4: § 99. — 5, 8, 9, 10: § 64. — 25: § 22. — 28: § 65. — 32: §§ 66, 70, 74.
ad Gaurum: see Galenus.
Proclus (cited §§ 54, 100; ἐν τοῖς κεφαλαίοις αὐτοῦ § 101; ἐν τοῖς ἐξηγητικοῖς τοῖς πρὸς τὸν Τίμαιον λόγοις § 157):
instit. theol. 39: § 101. — 62: § 20. — 86: § 16. — 104: § 107. — 105: App. III 8-15. — 106: § 107. — 124: § 17, App. I 33-66. — 140, 143: § 95. — 152, 154, 155, 158: § 16. — 166: § 21. — 167: § 22. — 169: §§ 23, 107. — 171, 172: § 24. — 173: §§ 25, 28. — 174: § 28. — 176: § 26. — 177: § 27. — 178, 179, 180, 181, 182, 183: § 28. — 184, 185, 186-188, 190: § 30. — 191: §§ 30, 107, App. II 64-71. — 193, 194, 195, 197: § 30. — 203: § 20.
de decem dubit. 1: § 94. — 2: § 17, App. I 33-66. — 3, 4: § 95. — 5: § 96.
de prov. et fato pp. 153-7: § 105. —

pp. 158-61: § 195. — pp. 167-72: § 196. — pp. 193 sqq.: App. I 33-66.
de mali subsist. pp. 207-8: § 97. — pp. 212-3: § 98. — pp. 214-5: § 85. — pp. 220-2: § 197. — pp. 234, 237-8: § 100.
in Timaeum I pp. 276-96: § 157. — II pp. 122-4: § 51. — II pp. 125-7: § 52. — II pp. 127-9: § 53. — II pp. 143-4: § 54.
exc. Vatic., ed. Pitra, Analecta V p. 193^{1-2}: § 31. — p. 193^{5-6}: § 63.
Psellus :
expos. in orac. Chald., PGr. 122, 1133 B, 1136 A-B: § 68. — 1137 C: § 31. — 1144 D: § 47. — 1145 C-D: § 105. — 1148 C: § 85.
summ. et brev. dogm. Chald. expos., PGr. 122, 1149 C: App. III 45-47. — 1153 A: §§ 65, 84.
scripta minora, ed. Kurtz-Drexl I p. 411: § 48.
Ptolemaeus (cited): § 146.
Pythagoras (cited): §§ 194, 199.
Pythagoreans, carm. aur. 42: § 63.
Simplicius, de anima pp. 7-8: § 37. — pp. 9-12: § 38. — pp. 12-13: § 39. — pp. 13-15: § 40. — pp. 15-16: § 41. — p. 16: § 42. — pp. 18-19: § 43. — pp. 21-24: § 44. — pp. 24-25: § 45. — pp. 26-27: § 46.
Xenocrates (cited): § 38.

Scripture :
Gen. 1^{1}: §§ 18, 157. — 1^{14}: § 136. — 1^{27}: § 48. — 2^{7}: § 49.
Ex. 3^{2}: App. IV 55-56. — 3^{14}: App. III 29-30.
Iob 1^{1}: § 12.
Ps. 103^{32}: § 164.
Cant. 2^{13}: § 193.
Ierem. 15^{19}: § 71.
Mt. 24^{36}: § 161.
Mc. 13^{32}: § 161.
Lc. 15^{11-32}: App. II 80-86.
Rom. 1^{20}: App. III 2-3.
Ephes. 1^{21}: § 54. — 2^{20}: App. II 90.
II Petr. 3^{10}: § 157.

STELLINGEN.

I.

De bron van De Omnifaria Doctrina §§ 31-36 is een latere uitwerking van Plotinus, Ennead. I 1.

II.

De Omnifaria Doctrina §§ 170 en 188 zijn vermoedelijk uittreksels uit het verloren gedeelte van Plutarchus' Aetia physica.

III.

E. Renauld, *Etude de la langue et du style de Michel Psellos* (Parijs 1920), zou aan waarde gewonnen hebben door enige philologische critiek.

IV.

Cinnamus I 10, p. 26, te lezen met het handschrift: τὸν δὲ τῇ δεήσει προσεσχηκότα φωνῶν ἀκοῦσαι λέγεται ᾀδόντων τινῶν· ὠράθη ὁ λίθος μετηρμένος καὶ θεῖος νεανίας καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. Gronovius' conjectuur λύχνος voor λίθος (opgenomen in al de uitgaven) berust op een misverstand.

V.

Scholion bij Philostratus, Vita Apollonii VI 43 (p. 193 Kayser, Züricher uitgave): οὐ γάρ που πιστὸν λόγον ἡμέραν τὴν λύσσαν αὐτὸν καρτερεῖν. Voor λόγον te lezen τριακοστήν.

VI.

Philoponus, de opificio I 13, p. 32, 20-22 Reichardt: οὐ γὰρ δὴ μετέωρον ἐπὶ τεσσαράκοντα ἡμέρας εισήκει τὸ ὕδωρ τὰ πέριξ τῶν ἐπικλυσθέντων μορίων τῆς γῆς μὴ ἐπικλύζον. Voor εισήκει te lezen εἱστήκει.

VII.

Proclus, in Cratylum, p. 70, 15-17 Pasquali: διὸ καὶ οἱ ἡμίθεοι, ὡς κατὰ τὸν ἕτερον τῶν κύκλων <τῶν> ἀπὸ τῶν θεῶν ἐκλαμπομένων. Te lezen: διὸ καὶ ἡμίθεοι, ὡς κατὰ τὸν ἕτερον τῶν κύκλων ἀπὸ τῶν θεῶν ἐκλαμπόμενοι.

VIII.

Olympiodorus, in Phaed., p. 76, 10-12 Norvin: οὐκοῦν καὶ φθαρτά ἐστιν (scil. τὰ οὐράνια), ὅσον ἐφ' ἑαυτοῖς· οὐ γὰρ ἑαυτὰ συνέχει· ἀλλ' ἐπινεύεται ἡ ἀθανασία αὐτῶν. Te lezen ἐπινάεται.

IX.

Theologumena arithmeticae, p. 72, 6-16 De Falco, moet als volgt gelezen worden: (over het getal 8:) παγκάλως τε καὶ παραλλήλως ἡρμοσμένος πάσας ἁρμόσεις, τὴν μὲν ἐκ δύο μήτε γεννώντων μήτε γεννωμένων, οἵπερ μόνοι ἐν δεκάδι ὤφθησαν (λέγω δὲ τὴν ἐκ τοῦ α' καὶ ζ')· τὴν δὲ ἐκ δύο ἀρτιοπερίσσων <, τοῦ μὲν δυνάμει, τοῦ δὲ ἐνεργείᾳ, τὴν ἐκ τοῦ β' καὶ ϛ'· τὴν δὲ ἐκ δύο πρώτων περισσῶν> ἐνεργείᾳ, ἥπερ στοιχειώδης εἰς γέννησιν κύβων σύνθεσις καὶ πρώτη συλλαβή, τὴν ἐκ τοῦ γ' καὶ ε', [τὴν μὲν δυνάμει, τὴν δὲ ἐνεργείᾳ τὴν ἐκ τοῦ β' καὶ ϛ', τὴν δὲ ἐκ δύο πρώτων περισσῶν,] τοῦ μὲν πρὸ αὐτοῦ ἀσυνθέτως ἀποβάντος, τοῦ ἑνός, τοῦ δὲ μετ' αὐτὸν ἐκ τριῶν τῶν μετὰ τούτους ἐσομένων, ζ' θ' ια', τοῦ δ' ἔτι μετ' ἐκεῖνον ἐκ δ' συνεχῶν, ιγ' ιε' ιζ' ιθ'· τετάρτην δὲ τὴν ἐκ διφορουμένου τοῦ δ', κτλ.

X.

Lucretius I 29, sqq.:

effice ut interea fera moenera militiai
per maria ac terras omnis sopita quiescant.

De verklaring van E. Wistrand, De Lucretii prooemii interpretatione (Eranos 41, 1943, pp. 43-47), dat Lucretius hier om bestendiging van de vrede zou bidden, is moeilijk te rijmen met de woorden '*sopita quiescant*'.

XI.

Zowel de methode als het begrip van etymologie, aangegeven door A. Juret op pp. 158-165 van zijn artikel *Survivances indo-européennes dans la langue latine* (Revue des Etudes Latines 20, 1942), zijn aanvechtbaar.